Περὶ ἐμπειρίας, τέχνης, καὶ ἐπιστήμης· καὶ ὅτι ἡ σοφία περὶ τινας αἰτίας καὶ ἀρχάς ἐστιν ἐπιστήμη.

ΠΑΝΤΕΣ ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει. σημεῖον δ' ἡ τῶν αἰσθήσεων ἀγάπησις. καὶ γὰρ χωρὶς τῆς χρείας, ἀγαπῶνται δι' ἑαυτὰς, καὶ μάλιστα τῶν ἄλλων ἡ διὰ τῶν ὀμμάτων. οὐ γὰρ μόνον ἵνα πράττωμεν, ἀλλὰ καὶ μηδὲν μέλλοντες πράττειν, τὸ ὁρᾶν αἱρούμεθα ἀντὶ πάντων, ὡς εἰπεῖν, τῶν ἄλλων. αἴτιον δ', ὅτι μάλιστα ποιεῖ γνωρίζειν τι ἡμᾶς αὕτη τῶν αἰσθήσεων, καὶ πολλὰς δηλοῖ διαφοράς. φύσει μὲν οὖν αἴσθησιν ἔχοντα γίνεται τὰ ζῶα. ἐκ δὲ τῆς αἰσθήσεως, τοῖς μὲν αὐτῶν οὐκ ἐγγίνεται μνήμη, τοῖς * δὲ γίνεται. καὶ διὰ τοῦτο ταῦτα μὲν φρόνιμα καὶ μαθηματικώτερα τῶν μὴ δυναμένων μνημονεύειν ἐστίν. φρόνιμα μὲν, ἄνευ τοῦ μανθάνειν, ὅσα μὴ δύναται τῶν ψόφων ἀκούειν.* οἷον μέλιττα, καὶ εἴ τι τοιοῦτον ἄλλο γένος ζώων ἐστί. μανθάνει δ', ὅσα πρὸς τῇ μνήμῃ καὶ ταύτην ἔχει

B (margin)

Cap. 1. lib. de ſenſu & ſenſili.

* χ. δ' ἐγγίνεται

Hiſt animal. l. 9. cap. 40.

Cap. 3. lib. 2. de Ani.

Cap. 3. lib. 7. Physic.

Apud Platon. in Gorgiâ.

Sic leg. vulg. οὕτω, πολλῆς ἐμπ.

Cap. 21. l. 2. prior. Analyt. et c. 1. l. 1.

τῆς αἰσθήσεως. τὰ μὲν οὖν ἄλλα ταῖς φαντασίαις ζῇ, καὶ ταῖς μνήμαις, ἐμπειρίας δὲ μετέχει μικρόν· τὸ δὲ τῶν ἀνθρώπων γένος, καὶ τέχνῃ, καὶ λογισμοῖς. γίγνεται δ' ἐκ τῆς μνήμης ἐμπειρία τοῖς ἀνθρώποις. * αἱ γὰρ πολλαὶ μνῆμαι τοῦ αὐτοῦ πράγματος, μιᾶς ἐμπειρίας δύναμιν ἀποτελοῦσι. καὶ δοκεῖ σχεδὸν ἐπιστήμῃ καὶ τέχνῃ ὅμοιον εἶναι ἡ ἐμπειρία. ἀποβαίνει δ' ἐπιστήμη καὶ τέχνη διὰ τῆς ἐμπειρίας τοῖς ἀνθρώποις. ἡ μὲν γὰρ ἐμπειρία, τέχνην ἐποίησεν, ὥς φησι Πῶλος, * ὀρθῶς λέγων· ἡ δ' ἀπειρία, τύχην. γίνεται δὲ τέχνη, ὅταν ἐκ πολλῶν τῆς ἐμπειρίας ἐννοημάτων, καθόλου μία γένηται περὶ τῶν ὁμοίων ὑπόληψις. τὸ μὲν γὰρ ἔχειν ὑπόληψιν, ὅτι Καλλίᾳ κάμνοντι τηνδὶ τὴν νόσον, τοδὶ συνήνεγκε, καὶ Σωκράτει, καὶ καθέκαστον * οὕτω πολλῆς, ἐμπειρίας ἐστί· τὸ δ' ὅτι πᾶσι τοῖς τοιοῖσδε κατ' εἶδος ἓν ἀφορισθεῖσι, κάμνουσι τηνδὶ τὴν νόσον, συνήνεγκεν, οἷον τοῖς φλεγματώδεσιν ἢ χολώδεσιν, ἢ πυρέττουσι καύσῳ, τέχνης. πρὸς μὲν οὖν τὸ πράττειν ἐμπειρία τέχνης οὐδὲν δοκεῖ διαφέρειν, ἀλλὰ καὶ μᾶλλον ἐπιτυγχάνοντας ὁρῶμεν τοὺς ἐμπείρους, τῶν ἄνευ τῆς ἐμπειρίας λόγον ἐχόντων. αἴτιον * δ', ὅτι ἡ μὲν ἐμπειρία τῶν καθέκαστα ἐστὶ γνῶσις, ἡ δὲ τέχνη τῶν καθόλου. αἱ δὲ πράξεις καὶ αἱ γενέσεις πᾶσαι, περὶ τὸ καθέκαστόν εἰσιν. οὐ γὰρ ἄνθρωπον ὑγιάζει ὁ ἰατρεύων, πλὴν ἀλλ' ἢ κατὰ συμβεβηκός, ἀλλὰ Καλλίαν, ἢ Σωκράτην, ἢ τῶν ἄλλων τινὰ οὕτω λεγομένων, ᾧ συμβέβηκεν ἀνθρώπῳ εἶναι. ἐὰν οὖν ἄνευ τῆς ἐμπειρίας ἔχῃ τις τὸν λόγον, καὶ τὸ καθόλου μὲν γνωρίζῃ, τὸ δ' ἐν τούτῳ καθέκαστον ἀγνοῇ, πολλάκις διαμαρτήσεται τῆς θεραπείας. θεραπευτὸν γὰρ τὸ καθέκαστον μᾶλλον. ἀλλ' ὅμως τό γε εἰδέναι καὶ τὸ ἐπαΐειν τῇ τέχνῃ, τῆς ἐμπειρίας ὑπάρχειν οἰόμεθα μᾶλλον, καὶ σοφωτέρους τοὺς τεχνίτας τῶν ἐμπείρων ὑπολαμβάνομεν, ὡς κατὰ τὸ εἰδέναι μᾶλλον ἀκολουθοῦσαν τὴν σοφίαν πᾶσι. τοῦτο δὲ, ὅτι οἱ μὲν τὴν αἰτίαν ἴσασιν, οἱ δ' οὔ. οἱ μὲν γὰρ ἔμπειροι, τὸ ὅτι μὲν ἴσασι, διότι δ' οὐκ ἴσασιν· οἱ δὲ τὸ διότι, καὶ τὴν αἰτίαν γνωρίζουσι. διὸ καὶ τοὺς ἀρχιτέκτονας περὶ ἕκαστον τιμιωτέρους, καὶ μᾶλλον εἰδέναι νομίζομεν τῶν χειροτεχνῶν, καὶ σοφωτέρους, ὅτι τὰς αἰτίας τῶν ποιουμένων ἴσασιν. οἱ δ' ὥσπερ καὶ τῶν ἀψύχων ἔνια, ποιεῖ μὲν, οὐκ εἰδότα δὲ ποιεῖ, οἷον καίει τὸ πῦρ. τὰ μὲν οὖν ἄψυχα φύσει τινὶ ποιεῖ τούτων ἕκαστον· τοὺς δὲ χειροτέ-

A Cætera igitur phantasiis ac memoriis viuunt, experientia verò parum participant. Humanum autem genus, arte etiam ac ratiocinationibus. Fit autem ex memoria experientia hominibus. Multæ etenim eiusdem rei memoriæ vnius experientiæ vim efficiunt. Quare experientia penè simile quid scientiæ ac arti esse videtur. Per experientiam autem ars & scientia hominibus efficitur. Experientia enim (vt rectè ait Polus) artem efficit, imperitia verò casum. B Fit autem ars, cùm è multis experimentalibus notionibus vna de similibus vniuersalis existimatio fiat. Existimare etenim, quòd Calliæ hoc morbo laboranti hoc conduxit, similiter Socrati ac singillatim aliis multis, experientiæ: quòd autem omnibus huiuscemodi secundùm vnam speciem determinatis hoc morbo laborantibus conduxit, vtpote phlegmaticis, ac cholericis, aut febre ardente laborantibus, C hoc artis proprium est. Ad agendum itaque, nil videtur experientia differre ab arte: quinimò videmus expertos magis id quod intendunt, consequi, quàm illos qui rationem absque experientia tenent. Causa verò est, quòd experientia singularium, ars autem vniuersalium cognitio est. Actiones autem, ac generationes omnes circa singulare sunt: non enim hominem, nisi per accidens, sanat qui medetur, sed Calliam, aut D Socratem, aut alium quempiam eorum qui sic dicuntur, cui accidit homini esse. Si quis itaque rationem absque experientia teneat, & vniuersale quidem cognoscat, quod autem sub eo particulare est, ignoret, sæpenumero errabit à sanando: id enim magis sanabile est, quod singulare est. Nihilominus scire, & cognoscere magis arti quàm experientiæ arbitramur inesse: ac eos qui artem tenent, quàm eos qui experien-E tiam habent, sapientiores esse putamus, eo quòd sapientia propter scientiam, magis omnes sequitur. Hoc autem, quoniam illi quidem sciunt causam, hi verò minimè: experti etenim sciunt quidem quod est, propter quid autem nesciunt: illi verò, propter quid & causam cognoscunt. Quare & eos qui in quaque re architecti sunt, honorabiliores & doctiores, ac eis qui manibus operantur, sapientiores putamus, quoniam causas eorum quæ fiunt, sciunt: illi verò, sicut & quæ inanimata, faciunt quidem, sed nescientia faciunt ea quæ faciunt, vt ignis comburit: sed inanimata natura quadam, horum singula faciunt:

manibus laborantes, propter consuetudinem. Tanquam sapientiores sint, non prout actiui sunt: sed, prout rationem habent, causasque cognoscunt. Et prorsus signum scientis est, posse docere. Quamobrem, magis artem quàm experientiam, scientiam esse putamus. Illi enim possunt, hi verò minimè possunt docere. Præterea, sensum nullum putamus, sapientiam esse: tametsi singularium hæ maximè propriæ cognitiones sunt, de nullo tamen dicunt propter quid, vt propter quid calidus ignis, sed solùm quòd calidus. Primum itaque cuiuscumque artis supra communes sensus inuentorem, non solùm quoniam vtile esset, quod inuentum erat, verùm etiam vt sapientem, & cæteris præstantem (vt verisimile est) homines admirabantur. Cùm autem plures artes inuenirentur, quarum aliæ ad necessaria, aliæ ad degendum essent, semper tales sapientiores illis putamus, quòd eorum scientiæ non ad vtilitatem essent. Quo fit vt huiusmodi iam omnibus institutis, illæ scientiarum, quæ neque ad degendum voluptariè, neque ad necessaria conducunt, inuentæ sint, & in illis locis primò, vbi vacabant; quare circa Ægyptum mathematicæ artes constitutæ sunt: illic enim gens sacerdotum vacare permissa est. Dictum autem in moralibus est, quænam sit artis & scientiæ differentia, ac cæterorum quæ eiusdem generis sunt. Cuius autem gratia nunc sermonem facimus, illud est, quòd appellatam sapientiam circa primas causas & principia omnes arbitrantur versari. Quare (vt dictum est priùs) expertus quidem sensum quemcumque habentibus sapientior esse videtur: artifex verò, expertis: architectus etiam, manibus laborante: speculatiui autem, factiuis. Quòd igitur sapientia circa aliquas causas & principia, scientia sit, patet.

## CAPVT II.

*Sapientis & Sapientiæ notas ac titulos huic scientiæ competere: ab admiratione natam & diuinam esse, denique primorum principiorum causarumque contemplatricem.*

QVoniam autem hanc scientiam quærimus, hoc vtique fuerit considerandum circa quales causas, & qualia principia, scientia, sapientia est. Si itaque repetat quisquam quas de sa-

A τοὺς δὲ χειροτέχνας * δι' ἔθος. ὡς οὐ κατὰ τὸ πρακτικοὺς εἶναι σοφωτέρους * ὄντας, ἀλλὰ κατὰ τὸ λόγον ἔχειν αὐτοὺς, καὶ τὰς αἰτίας γνωρίζειν. ὅλως τε σημεῖον τοῦ εἰδότος τὸ δύνασθαι διδάσκειν ἐστί· καὶ διὰ τοῦτο τὴν τέχνην τῆς ἐμπειρίας οἰόμεθα μᾶλλον ἐπιστήμην εἶναι. * δύνανται γὰρ, οἱ δὲ οὐ δύνανται, διδάσκειν. ἔτι δὲ τῶν αἰσθήσεων οὐδεμίαν ἡγούμεθα εἶναι σοφίαν, καίτοι κυριώταταί γ' εἰσὶν αὗται τῶν καθ' ἕκαστα γνώσεις, ἀλλ' οὐ λέγουσι τὸ διὰ τί B περὶ οὐδενὸς, οἷον, διὰ τί θερμὸν τὸ πῦρ, ἀλλὰ μόνον ὅτι θερμόν. τὸν μὲν οὖν πρῶτον εἰκὸς τὸν ὁποιανοῦν εὑρόντα τέχνην * παρὰ τὰς αἰσθήσεις, θαυμάζεσθαι ὑπὸ τῶν ἀνθρώπων, * μὴ μόνον διὰ τὸ χρήσιμον εἶναί τι τῶν εὑρεθέντων, ἀλλ' ὡς σοφὸν καὶ διαφέροντα τῶν ἄλλων. πλειόνων δὲ εὑρισκομένων τεχνῶν, καὶ τῶν μὲν πρὸς τἀναγκαῖα, τῶν δὲ πρὸς διαγωγὴν οὐσῶν, ἀεὶ σοφωτέρους τοὺς τοιούτους ἐκείνων ὑπολαμβάνεσθαι, διὰ τὸ μὴ C πρὸς χρῆσιν εἶναι τὰς ἐπιστήμας αὐτῶν. ὅθεν ἤδη πάντων τῶν τοιούτων κατεσκευασμένων, αἱ μὴ πρὸς ἡδονὴν, μηδὲ πρὸς τἀναγκαῖα τῶν ἐπιστημῶν εὑρέθησαν· καὶ πρῶτον τούτοις τοῖς τόποις * οὗπερ ἐσχόλασαν· * διὸ περὶ Αἴγυπτον αἱ μαθηματικαὶ πρῶτον τέχναι συνέστησαν. ἐκεῖ γὰρ ἀφείθη σχολάζειν τὸ τῶν ἱερέων ἔθνος. εἴρηται μὲν οὖν ἐν τοῖς Ἠθικοῖς, τίς διαφορὰ τέχνης καὶ ἐπιστήμης, καὶ τῶν ἄλλων τῶν ὁμογενῶν. οὗ δ' ἕνεκα νῦν ποιούμεθα τὸν λόγον, τοῦτ' ἐστὶν, ὅτι τὴν ὀνομαζομένην σο-D φίαν περὶ τὰ πρῶτα αἴτια καὶ τὰς ἀρχὰς, ὑπολαμβάνουσι πάντες. ὥστε, καθάπερ εἴρηται πρότερον, ὅτι ὁ μὲν ἔμπειρος τῶν ὁποιανοῦν ἐχόντων αἴσθησιν, εἶναι δοκεῖ σοφώτερος· ὁ δὲ τεχνίτης, τῶν ἐμπείρων. χειροτέχνου δὲ ἀρχιτέκτων· * αἱ δὲ θεωρητικαὶ, τῶν ποιητικῶν μᾶλλον. ὅτι μὲν οὖν ἡ σοφία περί τινας αἰτίας καὶ ἀρχάς ἐστιν ἐπιστήμη, δῆλον.

γρ. δι' ἔθος, ὡς malè. γρ. ὄντας ὡς,

Scr. δ. γὰρ οἱ μὲν, οἱ δ',

κ. περὶ τ. malè.

Cap. 4. l. 1. Ethic. Nicom.

γρ. οὗπερ πρῶτον ἐσχ alij codd. superius πρῶτον omittūt: hîc retinent. Nic. l. 6. c. 3.

γρ. οἱ δὲ θεωρητικοὶ & ita plerique interp.

F

## ΚΕΦΑΛΑΙΑ. β'.

Περὶ ποίας αἰτίας καὶ περὶ ποίας ἀρχὰς ἐπιστήμη, σοφία ἐστίν.

ΕΠΕΙ δὲ ταύτην τὴν ἐπιστήμην ζητοῦμεν, τοῦτ' ἂν εἴη σκεπτέον, περὶ ποίας αἰτίας καὶ περὶ ποίας ἀρχὰς ἐπιστήμη, σοφία ἐστίν. εἰ δὴ λάβοι τις τὰς ὑπολήψεις ἃς

Vulg. εἴχομεν, minùs rectè — χ. προσθέσεως, malè. — Interpr. μ. ἀρχική. vt quidã codd. — Int. ὅλ. τὸ

A *ἔχομεν περὶ τοῦ σοφοῦ, τάχ' ἂν ἐκ τούτου φανερὸν γένοιτο μᾶλλον. ὑπολαμβάνομεν δή, πρῶτον μὲν ἐπίστασθαι μάλιστα πάντα τὸν σοφὸν ὡς ἐνδέχεται, μὴ καθ' ἕκαστον ἔχοντα ἐπιστήμην αὐτῶν· εἶτα τὸν τὰ χαλεπὰ γνῶναι δυνάμενον, καὶ μὴ ῥᾴδια ἀνθρώπῳ γινώσκειν, τοῦτον σοφόν. τὸ γὰρ αἰσθάνεσθαι, πάντων κοινόν. διὸ ῥᾴδιον, καὶ οὐδὲν σοφόν. ἔτι τὸν ἀκριβέστερον, καὶ τὸν διδασκαλικώτερον τῶν αἰτιῶν, σοφώτερον εἶναι περὶ πᾶσαν ἐπιστήμην. καὶ τῶν ἐπιστημῶν δὲ τὴν αὐτῆς ἕνεκεν, B καὶ τοῦ εἰδέναι χάριν αἱρετὴν οὖσαν, μᾶλλον εἶναι σοφίαν, ἢ τὴν τῶν ἀποβαινόντων ἕνεκεν. καὶ τὴν ἀρχικωτέραν, τῆς ὑπηρετούσης μᾶλλον εἶναι σοφίαν. οὐ γὰρ δεῖν ἐπιτάττεσθαι τὸν σοφόν, ἀλλ' ἐπιτάττειν, καὶ οὐ τοῦτον ἑτέρῳ πείθεσθαι, ἀλλὰ τούτῳ τὸν ἧττον σοφόν. τὰς μὲν οὖν ὑπολήψεις, τοιαύτας καὶ τοσαύτας ἔχομεν περὶ τῆς σοφίας καὶ τῶν σοφῶν. τούτων δὲ τὸ μὲν πάντα ἐπίστασθαι, τῷ μάλιστα ἔχοντι τὴν καθόλου ἐπιστήμην ἀναγκαῖον C ὑπάρχειν. οὗτος γὰρ οἶδέ πως πάντα τὰ ὑποκείμενα. σχεδὸν δὲ καὶ χαλεπώτατα γνωρίζειν τοῖς ἀνθρώποις ἐστὶ τὰ μάλιστα καθόλου· πορρωτάτω γὰρ τῶν αἰσθήσεών ἐστιν. ἀκριβέσταται δὲ τῶν ἐπιστημῶν, αἳ μάλιστα τῶν πρώτων εἰσίν. αἱ γὰρ ἐξ ἐλαττόνων ἀκριβέστεραι τῶν ἐκ *προσθέσεως λεγομένων, οἷον ἀριθμητικὴ γεωμετρίας. ἀλλὰ καὶ διδασκαλικὴ γε ἡ τῶν αἰτιῶν θεωρητικὴ μᾶλλον· οὗτοι γὰρ διδάσκουσιν οἱ τὰς αἰτίας λέγοντες περὶ D ἑκάστου. τὸ δ' εἰδέναι, καὶ τὸ ἐπίστασθαι αὐτῶν ἕνεκα, μάλισθ' ὑπάρχει τῇ τοῦ μάλιστα ἐπιστητοῦ ἐπιστήμῃ. ὁ γὰρ τὸ ἐπίστασθαι δι' ἑαυτὸ αἱρούμενος, τὴν μάλιστα ἐπιστήμην μάλιστα αἱρήσεται. τοιαύτη δ' ἐστὶν ἡ τοῦ μάλιστα ἐπιστητοῦ. μάλιστα δὲ ἐπιστητὰ τὰ πρῶτα καὶ τὰ αἴτια. διὰ γὰρ ταῦτα, καὶ ἐκ τούτων τἆλλα γνωρίζεται, ἀλλ' οὐ ταῦτα διὰ τῶν ὑποκειμένων. E ἀρχικωτάτη δὲ τῶν ἐπιστημῶν, καὶ *μᾶλλον ἀρχὴ τῆς ὑπηρετούσης, ἡ γνωρίζουσα τίνος ἕνεκέν ἐστι πρακτέον ἕκαστον. τοῦτο δ' ἐστὶ τἀγαθὸν ἑκάστου. *ὅλως δὲ τὸ ἄριστον ἐν τῇ φύσει πάσῃ. ἐξ ἁπάντων οὖν τῶν εἰρημένων ἐπὶ τὴν αὐτὴν ἐπιστήμην πίπτει τὸ ζητούμενον ὄνομα. δεῖ γὰρ ταύτην τῶν πρώτων ἀρχῶν καὶ αἰτιῶν εἶναι θεωρητικήν. καὶ γὰρ καὶ τἀγαθόν, καὶ τὸ οὗ ἕνεκα, ἓν τῶν αἰτίων ἐστίν. ὅτι δ' οὐ ποιητική, δῆλον ἐκ τῶν πρώτων φιλοσοφησάντων.

piente opiniones habemus, fortassis ex hoc magis appareat. Primò igitur opinamur, sapientem maximè omnia, vt possibile est, scire, non habentem singulariter eorum scientiam. Deinde illum, qui difficiliora, neque scitu facilia homini, cognoscere possit, sapientem existimamus. Sentire enim omnibus commune est. Quamobrem facile, & neutiquam sapiens est. Item illum qui certior ac magis docere valens, causas reddat, sapientem in omni scientia esse. Scientiarum quoque illam, quæ gratia sui ipsius, & propter ipsum scire, quàm illam, quæ aliorum gratia eligenda sit, magis sapientiam esse. Et principaliorem quàm ei subministrantem, potius sapientiam esse. Non enim vt sapienti præcipiatur, sed vt ille præcipiat, nec vt ille ab altero, sed vt ab eo minùs sapienti suadeatur, decet. Opiniones itaque tales, ac tot, de sapientia & sapientibus habemus. Horum autem hoc quidem, omnia (inquam) scire, illi, qui maximè vniuersalem scientiam habeat, necesse est inesse: hic enim quodam modo omnia subiecta scit. Ferè autem & difficillima hominibus cognitu sunt ea quæ maximè vniuersalia sunt, siquidem remotissima sunt à sensibus. Scientiarum autem illæ certiores sunt, quæ maximè primorum sunt. Nam quæ sunt ex paucioribus, certiores iis sunt quæ ex additione dicuntur: vt Arithmetica, quàm Geometria. At verò illa magis docet, quæ causas speculatur. Ii enim docent qui causas singulorum dicunt. Intelligere autem & scire eorum ipsorum gratia, illi præcipuè scientiæ inest, quæ eius est quod maximè scibile est. Qui enim scire eius ipsius gratia eligit, eam quæ maxime scientia est, præcipuè eliget. Talis autem est eius quod maximè scibile. Maximè autem scibilia sunt ipsa prima, & causæ. Propter hæc enim & ex iis cætera cognoscuntur, sed non hæc per subiecta. Principalissima autem scientiarum, & principalior subministrante est, quæ cognoscat id ob quod quodque agendum sit. Hoc autem est bonum cuiusque, & vniuersaliter quòd in omni natura optimum est. Ex omnibus itaque dictis in eandem scientiam cadit, quod quæritur nomen. Oportet etenim primorum principiorum, & causarum eam speculatiuam esse. Nam & bonum, & cuius gratia, vna de causis est. Quòd autem non factiua, etiam ex primis philosophantibus patet. Propter admirationem enim, & nunc, & primò inceperunt homines philosophari:

à principio quidem admirando ea quæ de dubitandis faciliora erant: deinde paulatim vlteriùs procedentes, etiam de maioribus dubitando, vt de passionibus Lunæ, & eorum quæ circa Solem & stellas fiunt, ac de generatione vniuersi. Qui verò dubitat, & admiratur, putat se ignorare: quare philosophus, amator fabularum quodammodo est, eo quòd fabula ex mirandis constat. Quare si propter fugam ignorantiæ philosophati sunt, patet quòd causa cognoscendi, & nullius vsus gratia, ipsum scire prosequebantur. Testatur autem id ipsum, quod contigit. Ferè enim omnibus inuentis, quæ ad necessaria, & facilitatem, ac ad degendum conducant, huiusmodi prudentia quæri cœpta est. Patet itaque quòd ob aliam nullam vtilitatem quærimus, sed quemadmodum dicimus, liber homo de eo qui sui ipsius, & non alterius gratia est, ita & hæc sola scientiarum libera est, siquidem sola hæc sui ipsius gratia est. Quare meritò non humana eius possessio putabitur: natura etenim hominum in plerisque serua est. Quapropter secundùm Simonidem, Deus vtique solus hanc habet dignitatem: hominem verò, indignum non quærere illam quæ sibi conuenit, scientiam. Quòd si quid poëtæ dicunt, & natura comparatum est, vt diuinitas inuideat, in hoc maximè id verisimile est contingere, & infelices omnes esse, qui altiora se quærunt. Sed nec diuinam naturam inuidam esse conuenit, poëtæque, (secundùm prouerbium,) multa mentiuntur. Nec aliam quàm huiuscemodi, decet, honorabiliorem putare. Quæ enim diuinissima, eadem etiam honorabilissima est. Talis verò bifariàm dumtaxat vtique fuerit. Nam & illa, quam maximè Deus habeat, diuina scientiarum est, & si qua est, quæ diuinorum sit. Hæc autem sola vtrumque consecuta est. Deus etenim tum causa omnibus esse videtur, tum quoddam principium, & talem aut solus, aut præcipuè Deus habet. Cæteræ itaque omnes magis ea necessariæ sunt, nulla verò melior. Oportet autem quodammodo eius ordinem in contrarium nobis inquisitionum, quæ à principio fiebant, constitui. Incipiunt etenim omnes, (vt diximus,) ab admiratione, an sic se habeat: sicut de præstigiosis, quæ per se ipsa mouentur, illi, qui nondum speculati sunt causam: aut de solstitiis, aut de diametri incommensurabilitate. Admirabile enim omnibus videtur, si quid, cùm non sit minimum, non mensuretur. Decet autem in contrarium, & in melius (secundùm prouerbium,) consummare: quemadmodum in his fit, cùm discant.

A Διὰ γὰρ τὸ θαυμάζειν οἱ ἄνθρωποι καὶ νῦν καὶ τὸ πρῶτον ἤρξαντο φιλοσοφεῖν· ἐξ ἀρχῆς μὲν τὰ πρόχειρα τῶν ἀπόρων θαυμάσαντες, εἶτα κατὰ μικρὸν οὕτω προϊόντες, καὶ περὶ τῶν μειζόνων διαπορήσαντες· οἷον περί τε τῶν τῆς σελήνης παθημάτων, καὶ τῶν περὶ τὸν ἥλιον καὶ ἄστρα, καὶ περὶ τῆς τοῦ παντὸς γενέσεως. ὁ δ' ἀπορῶν καὶ θαυμάζων, οἴεται ἀγνοεῖν· διὸ καὶ φιλόμυθος ὁ φιλόσοφός πώς ἐστιν. ὁ γὰρ μῦθος σύγκειται ἐκ θαυμασίων. B ὥστ' εἴπερ διὰ τὸ φεύγειν τὴν ἄγνοιαν ἐφιλοσόφησαν, φανερὸν ὅτι διὰ τὸ εἰδέναι τὸ ἐπίστασθαι ἐδίωκον, καὶ οὐ χρήσεώς τινος ἕνεκεν. μαρτυρεῖ δὲ καὶ αὐτὸ τὸ συμβεβηκός. σχεδὸν γὰρ πάντων ὑπαρχόντων τῶν ἀναγκαίων, καὶ πρὸς ῥαστώνην καὶ διαγωγὴν, ἡ τοιαύτη φρόνησις ἤρξατο ζητεῖσθαι. δῆλον οὖν ὡς δι' οὐδεμίαν αὐτὴν ζητοῦμεν χρείαν ἑτέραν, ἀλλ' ὥσπερ ἄνθρωπός, φαμὲν, C ἐλεύθερος ὁ αὑτοῦ ἕνεκα, καὶ μὴ ἄλλου· οὕτως καὶ αὐτὴ μόνη ἐλευθέρα οὖσα τῶν ἐπιστημῶν. μόνη γὰρ αὐτὴ αὑτῆς ἕνεκέν ἐστι. διὸ καὶ δικαίως ἂν οὐκ ἀνθρωπίνη νομίζοιτο αὐτῆς ἡ κτῆσις· πολλαχῆ γὰρ ἡ φύσις δούλη τῶν ἀνθρώπων ἐστίν. ὥστε κατὰ Σιμωνίδην, θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας· ἄνδρα δ' οὐκ ἄξιον μὴ ζητεῖν τὴν * καθ' αὑτὸν ἐπιστήμην. εἰ δὲ λέγουσί τι οἱ ποιηταὶ, καὶ πέφυκε φθονεῖν τὸ θεῖον, ἐπὶ τούτου συμβῆναι μάλιστα εἰκὸς, καὶ δυστυχεῖς εἶναι * πάντας τοὺς περιττούς. ἀλλ' οὔτε τὸ θεῖον φθονερὸν ἐνδέχεται εἶναι, ἀλ- D λὰ (κατὰ τὴν παροιμίαν) πολλὰ ψεύδονται ἀοιδοί. οὔτε τῆς τοιαύτης ἄλλην χρὴ νομίζειν τιμιωτέραν. ἡ γὰρ θειοτάτη καὶ τιμιωτάτη· τοιαύτη δὲ διχῶς ἂν εἴη μόνη. ἥν τε γὰρ μάλιστ' ἂν ὁ θεὸς ἔχοι, θεία τῶν ἐπιστημῶν ἐστι, κἂν εἴ τις τῶν θείων εἴη· μόνη δ' * αὕτη τούτων ἀμφοτέρων τετύχηκεν. ὅ, τε γὰρ θεὸς δοκεῖ τὸ αἴτιον πᾶσιν εἶναι καὶ ἀρχή τις· καὶ τὴν τοιαύτην ἢ μόνος, ἢ μάλιστ' ἂν ἔχοι ὁ θεός. ἀναγ- E καιότεραι μὲν οὖν πᾶσαι αὐτῆς, ἀμείνων δ' οὐδεμία. δεῖ μέντοι πως καταστῆναι τὴν τάξιν αὐτῆς εἰς τοὐναντίον ἡμῖν τῆς ἐξ ἀρχῆς ζητήσεων. ἄρχονται μὲν γὰρ, ὥσπερ εἴπομεν, ἀπὸ τοῦ θαυμάζειν * πάντες εἰ οὕτως ἔχει, καθάπερ τῶν θαυμάτων ταὐτόματα τοῖς μήπω τεθεωρηκόσι τὴν αἰτίαν, ἢ περὶ τὰς τοῦ ἡλίου τροπὰς, ἢ τὴν τῆς διαμέτρου ἀσυμμετρίαν. θαυμαστὸν γὰρ εἶναι δοκεῖ πᾶσιν, * εἴ τι τῷ ἐλαχίστῳ μὴ μετρεῖται. δεῖ δὲ εἰς τοὐναντίον, καὶ τὸ ἄμεινον (κατὰ τὴν παροιμίαν) ἀποτελευτῆσαι, καθάπερ καὶ ἐν τούτοις ὅταν μάθωσιν.

Cap. 7. & 8. l. 10. Ethic. Nic.

γρ. τοιούτους non recte.

γρ. αὐτὴ

γρ. πάντες εἰ οὕτως

γρ. ὅτι τῷ ἐλαχίστῳ μὴ. minus rectè vide Alex.

οὐδὲν γὰρ ἂν θαυμάσειεν οὕτως ἀνὴρ γεωμετρικὸς, ὡς εἰ γένοιτο ἡ διάμετρος μετρητή. τίς μὲν οὖν ἡ φύσις τῆς ζητουμένης ἐπιστήμης, εἴρηται, καὶ τίς ὁ σκοπὸς οὗ δεῖ τυγχάνειν τὴν ζήτησιν καὶ τὴν ὅλην μέθοδον.

A Nil enim magis vir geometricus admiretur, quàm si diameter commensurabilis fieret. Quænam igitur natura eius scientiæ, quæ quæritur, & quæ intentio, quam debet quæstio & totus tractatus consequi, dictum est.

## ΚΕΦΑΛ. γ΄.

### Παλαιῶν δόξαι περὶ τῶν πρώτων αἰτίων.

ΕΠΕΙ δὲ φανερὸν, ὅτι τῶν ἐξ ἀρχῆς αἰτίων δεῖ λαβεῖν ἐπιστήμην (τότε γὰρ εἰδέναι φαμὲν ἕκαστον, ὅταν τὴν πρώτην αἰτίαν οἰώμεθα γνωρίζειν) τὰ δ᾽ αἴτια λέγεται τετραχῶς, ὧν μίαν μὲν αἰτίαν φαμὲν εἶναι τὴν οὐσίαν, καὶ τὸ τί ἦν εἶναι (ἀνάγεται γὰρ τὸ διὰ τί πρῶτον εἰς τὸν λόγον ἔσχατον· αἴτιον δὲ καὶ ἀρχὴ, τὸ διὰ τί πρῶτον·) μίαν δὲ τὴν ὕλην καὶ τὸ ὑποκείμενον, τρίτην δὲ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τετάρτην δὲ τὴν ἀντικειμένην αἰτίαν ταύτῃ, καὶ τὸ οὗ ἕνεκεν, καὶ τὸ ἀγαθόν (τέλος γὰρ γενέσεως πάσης τοῦτ᾽ ἐστί) τεθεώρηται μὲν οὖν ἱκανῶς περὶ αὐτῶν ἐν τοῖς περὶ φύσεως, ὅμως δὲ παραλάβωμεν καὶ τοὺς πρότερον ἡμῶν εἰς ἐπίσκεψιν τῶν ὄντων ἐλθόντας, καὶ φιλοσοφήσαντας περὶ τῆς ἀληθείας. δῆλον γὰρ ὅτι κἀκεῖνοι λέγουσιν ἀρχάς τινας καὶ αἰτίας. ἐπελθοῦσι γοῦν, ἔσται τι προὔργου τῇ μεθόδῳ τῇ νῦν. ἢ γὰρ ἕτερόν τι γένος εὑρήσομεν αἰτίας, ἢ ταῖς νῦν λεγομέναις μᾶλλον πιστεύσομεν. τῶν δὴ πρώτων φιλοσοφησάντων, οἱ πλεῖστοι τὰς ἐν ὕλης εἴδει μόνον ᾠήθησαν ἀρχὰς εἶναι πάντων. ἐξ οὗ γάρ ἐστιν ἅπαντα τὰ ὄντα, καὶ ἐξ οὗ γίγνεται πρώτου, καὶ εἰς ὃ φθείρεται τελευταῖον, τῆς μὲν οὐσίας ὑπομενούσης, τοῖς δὲ πάθεσι μεταβαλλούσης, τοῦτο στοιχεῖον καὶ ταύτην τὴν ἀρχήν φασιν εἶναι τῶν ὄντων. καὶ διὰ τοῦτο, οὔτε γίνεσθαι οὐθὲν οἴονται, οὔτε ἀπόλλυσθαι, ὡς τῆς τοιαύτης φύσεως ἀεὶ σωζομένης. ὥσπερ δὲ τὸν Σωκράτη φαμὲν οὔτε γίγνεσθαι ἁπλῶς, ὅταν γίγνηται καλὸς ἢ μουσικός, οὔτε ἀπόλλυσθαι, ὅταν ἀποβάλλῃ ταύτας τὰς ἕξεις, διὰ τὸ ὑπομένειν τὸ ὑποκείμενον τὸν Σωκράτη αὐτόν, οὕτως οὐδὲ τῶν ἄλλων οὐδέν. δεῖ γὰρ εἶναί τινα φύσιν, ἢ μίαν, ἢ πλείους μιᾶς, ἐξ ὧν γίγνεται τἄλλα, σωζομένης ἐκείνης. τὸ μέντοι πλῆθος, καὶ τὸ εἶδος τῆς τοιαύτης ἀρχῆς, οὐ τὸ αὐτὸ πάντες λέγουσιν. ἀλλὰ Θαλῆς μὲν ὁ τῆς τοιαύτης ἀρχηγὸς φιλοσοφίας, ὕδωρ φησὶν εἶναι,

Physic. acro. l. 2. c. 3.

## CAPVT III.

### *De primis causis quid docuerint veteres.*

B CVm autem manifestum sit, quòd primarum causarum oportet scientiam accipere, (tum enim scire vnumquodque dicimus, cùm primam causam nos nosse arbitramur,) causæ verò quadrifariam dicantur, quarum vnam quidem causam dicimus esse substantiam, & quod quid erat esse: nam ipsum quare primum, refertur ad rationem vltimam, causa autem, & principium, ipsum quare primum: vnam verò materiam & subiectum: tertiam autem vnde principium motus, quartam verò oppositam ei causam, & cuius gratia, & bonum. C Hoc enim finis totius motus & generationis est. De his autem omnibus etsi satis in De naturalibus speculatum sit, nihilominus tamen illos quoque qui ante nos ad entium perscrutationem venerunt, & de veritate philosophati sunt, adsciscamus. Patet enim quòd illi etiam principia aliqua & causas dicunt. Proderit itaque profectò huic tractatui, nunc si illa breuiter repetemus. Aut enim aliud causæ genus inueniemus: aut certè magis illis credemus, quæ nunc dictæ sunt. D Plurimi igitur eorum qui primò philosophati sunt, solas illas existimarunt omnium esse principia, quæ in materiæ specie sunt. Ex quo enim omnia entia sunt, & ex quo primo fiunt, & ad quod vltimum corrumpuntur, substantia quidem permanente, mutata verò passionibus, hoc elementum, & hoc omnium entium esse principium aiunt: & ob hoc nihil fieri, neque corrumpi opinantur, tanquam huiuscemodi natura semper conseruata: E quemadmodum neque Socratem, quando formosus aut musicus efficitur, simpliciter fieri dicimus: neque cùm istos habitus amittat, corrumpi: eo quòd subiectum ipsum Socrates permanet: ita & cæterorum, nihil. Oportet enim aliquam naturam aut vnam, aut plures esse, è quibus cætera fiunt, illa conseruata: pluralitatem tamen, & speciem huius principii, non eandem omnes dicunt. Sed Thales quidem, huiuscemodi philosophiæ princeps, aquam ait esse. Quare terram quoque super aquam asserebat esse.

Fortassis

Fortassis hanc habuit opinionem, quia nutrimentum omnium humidum esse videbat, ipsum quoque calidum ex eo factum, eoque animal viuere. Ex quo autem aliquid fit, id esse principium omnium. Propter hoc igitur hanc habuit opinionem, & quoniam cunctorum semina, naturam humidam sortita sunt. Aqua verò, naturæ principium humidis est. Sunt autem quidam, qui etiam antiquissimos illos, & nimis à præsenti generatione remotos, & primos theologizantes, sic arbitrantur de natura sensisse. Oceanum namque & Tethyn generationis parentes esse cecinerunt. Iusiurandum quoque Deorum, aquam esse, Stygem ab ipsis poëtis appellatam. Honorabilissimum enim, quod antiquissimum est. Iusiurandum autem, honorabilissimum est. Si igitur antiqua ista & vetusta de natura opinio est, fortasse non est manifestum. Thales tamen hunc in modum de prima causa dicitur asseruisse. Hipponem etenim nemo dignabitur cum istis connumerare, propter intellectus eius simplicitatem. Anaximenes autem & Diogenes aërem priorem aqua, & maximè simplicium corporum principium statuunt. Hippasus autem Metapontinus, & Heraclitus Ephesius, ignem. Empedocles autem, quatuor, vnà cùm prædictis superaddens etiam terram, quartum. Hæc enim semper permanere, nec fieri nisi pluralitate & paucitate coniuncta, & disiuncta in vnum, & ex vno. Anaxagoras autem Clazomenius, ætate quidem illo superior, operibus verò inferior, infinita dicit esse principia. Ferè enim omnia, quæ consimilium partium sunt, vt aquam, vel ignem, ita fieri & corrumpi ait, coniunctione & disiunctione solùm: aliter verò nec fieri, nec corrumpi, sed perpetua permanere. Ex his itaque solam quis causam illam, quæ in materiæ specie dicitur, putabit. Hoc autem modo procedentibus, ipsa res eos duxit, & coëgit vlteriùs quærere. Nam etsi quàm maximè omnis corruptio & generatio ex aliquo vt ex vno aut ex pluribus fit, cur hoc accidit, & quæ causa est? Non enim ipsum subiectum sese mutari facit, vtputa, dico quod neque lignum, neque æs causa est vt vtrumque eorum mutetur. Neque lignum quidem lectum, æs verò statuam facit, sed aliud quippiam mutationis causa est. Hoc autem quærere aliud principium quærere est, perinde atque id



A διὸ καὶ τὴν γῆν ἐφ' ὕδατος ἀπεφήνατο εἶναι, λαβὼν ἴσως τὴν ὑπόληψιν ταύτην ἐκ τοῦ πάντων ὁρᾶν τὴν τροφὴν ὑγρὰν οὖσαν, καὶ αὐτὸ τὸ θερμὸν ἐκ τούτου γιγνόμενον, καὶ τὸ ζῶον τούτῳ ζῆν. τὸ δ' ἐξ οὗ γίνεται, τοῦτ' ἐστὶν ἀρχὴ πάντων. διά τε δὴ τοῦτο τὴν ὑπόληψιν λαβὼν ταύτην, καὶ διὰ τὸ πάντων τὰ σπέρματα τὴν φύσιν ὑγρὰν ἔχειν· τὸ δ' ὕδωρ, ἀρχὴ φύσεώς ἐστι B τοῖς ὑγροῖς. εἰσὶ δέ τινες οἳ καὶ τοὺς παμπαλαίους, καὶ πολὺ πρὸ τῆς νῦν γενέσεως καὶ πρώτους θεολογήσαντας, οὕτως οἴονται περὶ τῆς φύσεως διαλαβεῖν. Ὠκεανόν τε γὰρ καὶ Τηθὺν ἐποίησαν τῆς γενέσεως πατέρας, καὶ τὸν ὅρκον τῶν θεῶν ὕδωρ, τὴν καλουμένην ὑπ' αὐτῶν Στύγα τῶν ποιητῶν. τιμιώτατον μὲν γὰρ τὸ πρεσβύτατον. ὅρκος δὲ τὸ τιμιώτατόν ἐστιν. εἰ μὲν οὖν ἀρχαία τις αὕτη καὶ παλαιὰ τετύχηκεν οὖσα περὶ τῆς φύσεως ἡ δόξα, τάχ' ἂν ἄδηλον εἴη. Θαλῆς μέντοι C λέγεται οὕτως ἀποφήνασθαι περὶ τῆς πρώτης αἰτίας. Ἵππωνα μὲν γὰρ οὐκ ἄν τις ἀξιώσειε θεῖναι μετὰ τούτων, διὰ τὴν εὐτέλειαν αὐτοῦ τῆς διανοίας. Ἀναξιμένης δὲ, ἀέρα, καὶ Διογένης, πρότερον ὕδατος, καὶ μάλιστ' ἀρχὴν τιθέασι τῶν ἁπλῶν σωμάτων. Ἵππασος δὲ, πῦρ, ὁ Μεταποντῖνος, καὶ Ἡράκλειτος ὁ Ἐφέσιος. Ἐμπεδοκλῆς δὲ, τὰ τέτταρα· πρὸς τοῖς εἰρημένοις γῆν προστιθεὶς τέταρτον. ταῦτα γὰρ D ἀεὶ διαμένειν, καὶ οὐ γίνεσθαι, ἀλλ' ἢ πλήθει καὶ ὀλιγότητι συγκρινόμενα καὶ διακρινόμενα, εἰς ἕν τε καὶ ἐξ ἑνός. Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος τῇ μὲν ἡλικίᾳ πρότερος ὢν τούτου, τοῖς δ' ἔργοις ὕστερος, ἀπείρους εἶναί φησι τὰς ἀρχάς. σχεδὸν γὰρ ἅπαντα τὰ ὁμοιομερῆ, καθάπερ ὕδωρ ἢ πῦρ, οὕτω γίνεσθαι καὶ ἀπόλλυσθαί φησι, συγκρίσει καὶ διακρίσει μόνον· ἄλλως δ' οὔτε γίνεσθαι, οὔτ' ἀπόλλυσθαι, ἀλλὰ διαμένειν ἀΐδια. E ἐκ μὲν οὖν τούτων, μόνην τις αἰτίαν νομίσειεν ἂν, τὴν ἐν ὕλης εἴδει λεγομένην. προϊόντων δ' οὕτως, αὐτὸ τὸ πρᾶγμα ὡδοποίησεν αὐτοῖς, καὶ συνηνάγκασε ζητεῖν. εἰ γὰρ ὅτι μάλιστα πᾶσα φθορὰ καὶ γένεσις ἔκ τινος, ὡς ἑνὸς ἢ καὶ πλειόνων ἐστὶν, διὰ τί τοῦτο συμβαίνει, καὶ τί τὸ αἴτιον; οὐ γὰρ δὴ τό γε ὑποκείμενον αὐτὸ ποιεῖ μεταβάλλειν ἑαυτό. λέγω δ' οἷον, οὔτε τὸ ξύλον, οὔτε ὁ χαλκὸς αἴτιον τοῦ μεταβάλλειν ἑκάτερον αὐτῶν. οὐδὲ ποιεῖ τὸ μὲν ξύλον κλίνην, ὁ δὲ χαλκὸς ἀνδριάντα, ἀλλ' ἕτερόν τι τῆς μεταβολῆς * αἴτιον. τὸ δὲ τοῦτο ζητεῖν, ἐστὶ τὸ τὴν ἑτέραν ἀρχὴν ζητεῖν, ὡς ἂν

Homer. & Hesiodus passim.

* γρ. ἴσως ma. è.

Z

ἡμεῖς φαῖμεν, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. A οἱ μὲν οὖν πάμπαν ἐξ ἀρχῆς ἁψάμενοι τῆς μεθόδου τῆς τοιαύτης, καὶ ἓν φάσκοντες εἶναι τὸ ὑποκείμενον, οὐθὲν ἐδυσχέραναν ἑαυτοῖς, ἀλλ' ἔνιοί γε τῶν ἓν λεγόντων, ὥσπερ ἡττηθέντες ὑπὸ ταύτης τῆς ζητήσεως, τὸ ἓν ἀκίνητόν φασιν εἶναι, καὶ τὴν φύσιν ὅλην οὐ μόνον κατὰ γένεσιν καὶ φθοράν· (τοῦτο μὲν γὰρ ἀρχαῖόν τε καὶ πάντες ὡμολόγησαν) ἀλλὰ καὶ κατὰ τὴν ἄλλην μεταβολὴν πᾶσαν· καὶ τοῦτο αὐτῶν B ἴδιόν ἐστι. τῶν μὲν οὖν ἓν μόνον φασκόντων εἶναι τὸ πᾶν, οὐθενὶ συνέβη τὴν τοιαύτην συνιδεῖν αἰτίαν, * πλὴν εἰ ἄρα Παρμενίδῃ, καὶ τούτῳ κατὰ τοσοῦτον, ὅσον οὐ μόνον ἕν, ἀλλὰ καὶ δύο πως τίθησιν αἰτίας εἶναι. τοῖς δὲ πλείω ποιοῦσι μᾶλλον ἐνδέχεται λέγειν, οἷον τὸ θερμὸν * καὶ ψυχρόν, ἢ πῦρ καὶ γῆν. χρῶνται γὰρ ὡς κινητικὴν ἔχοντι τῷ πυρὶ τὴν φύσιν· ὕδατι δὲ καὶ γῇ καὶ τοῖς τοιούτοις τοὐναντίον. μετὰ δὲ τούτους καὶ τὰς τοιαύτας ἀρχάς, ὡς οὐχ ἱκανῶν C οὐσῶν γεννῆσαι τὴν τῶν ὄντων φύσιν, πάλιν ὑπ' αὐτῆς τῆς ἀληθείας, ὥσπερ εἴπομεν, ἀναγκαζόμενοι, τὴν ἐχομένην ἐζήτησαν ἀρχήν. τοῦ γὰρ εὖ καὶ καλῶς τὰ μὲν ἔχειν, τὰ δὲ γίγνεσθαι τῶν ὄντων, ἴσως οὔτε πῦρ οὔτε γῆν, οὔτ' ἄλλο τῶν τοιούτων οὐθέν, οὔτ' εἰκὸς αἴτιον εἶναι, οὔτ' ἐκείνους οἰηθῆναι· * οὐδ' αὖ τῷ αὐτομάτῳ καὶ τύχῃ τοσοῦτον ἐπιτρέψαι πρᾶγμα καλῶς ἔχει. νοῦν δέ τις εἰπὼν εἶναι, καθάπερ ἐν τοῖς ζῴοις, καὶ ἐν τῇ φύσει τὸν αἴτιον καὶ τοῦ D κόσμου, καὶ τῆς τάξεως πάσης, οἷον νήφων ἐφάνη παρ' εἰκῆ λέγοντας τοὺς πρότερον. φανερῶς μὲν οὖν Ἀναξαγόραν ἴσμεν ἁψάμενον τούτων τῶν λόγων. * αἴτιον δ' ἔχει πρότερον Ἑρμότιμος ὁ Κλαζομένιος εἰπεῖν. οἱ μὲν οὖν οὕτως ὑπολαμβάνοντες, ἅμα * τοῦ καλῶς τὴν αἰτίαν ἀρχὴν εἶναι τῶν ὄντων ἔθεσαν, καὶ τὴν τοιαύτην, ὅθεν ἡ κίνησις ὑπάρχει τοῖς οὖσιν.

γρ. πλὴν ἢ Π.

γρ. ἢ ψυχρόν, minùs rectè

κ. τῷ αὐτομ. αὐτ. minùs rectè

Scribe. αἰτίαν δ' ἔχει π. hoc est, *auctor tamē primus censetur huius sētentiæ Herm.* sic Rhet. l.13.c.17. ἐὰν ἄπιστα ᾖ, ἢ ἄλλος αἰτίαν ἔχ. & alij auctores passim, atque ita in vet. quodam cod. ait Fonseca

quod nos vnde principium motus dicimus. Qui igitur omnino à principio istam viam attigerunt, vnumque esse subiectum asseruerunt, nil difficultatis sibi ipsis reliquerunt: verùm quidam eorum, qui vnum constituerunt, quasi deuicti ab hac quæstione, ipsum vnum immobile dicunt esse, naturamque totam non solùm secundùm generationem & corruptionem, (hoc enim vetus est, & cui omnes consenserunt,) sed etiam secundùm reliquam omnem transmutationem. Et hoc eorum est proprium. Illorum igitur, qui vnum solùm esse dixerunt ipsum vniuersum, nulli contingit talem inspicere causam, nisi fortassis Parmenidi: & huic eatenus, quatenus non solùm vnam, verùm etiam duas quodam modo ponit causas esse. Illis verò, qui plura faciunt, magis accidit dicere, vt puta illis qui calidum aut frigidum, aut ignem & terram: vtuntur enim igne tanquam motiuam habente naturam: aqua verò & terra & huiuscemodi, econtrario. Post hos autem & huiusmodi principia, tanquam non sufficientia, vt entium naturam generarent, rursus ab ipsa veritate, (vt diximus,) coacti, illud, quod sequitur, quæsiuerunt principium. Vt enim entia bene se partim habeant, partim fiant, nec ignem fortassis, nec terram, nec aliud huiuscemodi quicquam verisimile est causam esse, nec illos verisimile est arbitrari: nec rursus casui & fortunæ tantam attribuere rem, probè se habet. Quare qui vt animalibus, ita in natura intellectum inesse caussam Mundi, totiusque ordinis dixerat, quasi sobrius, comparatus ad antiquiores vana dicentes, apparuit. Istas autem rationes qui palàm attigit, Anaxagoram fuisse scimus. Attamen Hermotimus Clazomenius dicitur causam priùs dixisse. Qui igitur ita arbitrati sunt, principium existentium posuerunt simul tam causam ipsius bene, quàm illam vnde motus existentibus inest.

E

## ΚΕΦΑΛ. δ'.

Ἡσιόδου καὶ Ἐμπεδοκλέους καὶ Ἀναξαγόρου δόξαι περὶ ἀρχῶν, καὶ Λευκίππου καὶ Δημοκρίτου.

Ὑποπτεύσειε δ' ἄν τις Ἡσίοδον πρῶτον ζητῆσαι τὸ τοιοῦτον, κἂν εἴ τις ἄλλος ἔρωτα ἢ ἐπιθυμίαν ἐν τοῖς οὖσιν ἔθηκεν ὡς ἀρχήν,

γρ. τὸ καλ.

## CAPVT IV.

*Quæ de principiis ab Hesiodo, Empedocle, & Anaxagora, dicta sunt, necnon quæ à Leucippo & Democrito.*

SVspicaretur autem aliquis, Hesiodum primum hoc quæsiuisse, & si quis alius amorem, aut desiderium existentibus vt principium posuit,

A ſicuti Parmenides. Etenim is vniuerſi generationem monſtrando,

*Primum quidem inter omnes Deos Amorem* (ait) *produxit.*

Heſiodus verò,

*Ante omnia fuiſſe chaos, deinde terram ſpatioſam,*
*Atque amorem, qui inter omnes immortales elucet.*

Tanquam opportunum ſit, vt in exiſtentibus aliqua cauſa inſit, quæ res ipſas moueat, atque coniungat. Hos autem quomodo ordinare oportet, quis ſcilicet
B eorum primus ſit, liceat poſteriùs iudicare. Cùm autem contraria quoque bonis ineſſe naturæ apparerent, nec ſolùm ordo, & pulchrum, verùm etiam inordinatio, & turpe, pluraque mala, quàm bona, & turpia, quàm pulchra, ideo alius quidam amicitiam introduxit, & contentionem, vtrumque vtriuſque horum cauſam. Si quis enim ſequatur, & ſecundùm ſententiam accipiat, non ſecundùm ea quæ balbutiens Empedocles
C dicit, inueniet, amicitiam quidem bonorum cauſam eſſe, contentionem verò malorum. Quare ſi quis dicat quodam modo dicere, & primum Empedoclem dicere malum & bonum eſſe principia, fortaſſe bene inquiet: ſiquidem bonorum omnium cauſa, ipſum bonum; ac malorum, ipſum malum eſt. Hi quidem (vt diximus) & huc vſque duas cauſas, quas nos in De naturalibus determinauimus, attigerunt, materiam, & vnde motus: obſcurè tamen, & non clarè: ſed quemadmodum inexercitati in præ-
D lio faciunt. Etenim illi circumeuntes, egregias plerumque plagas infligunt. Sed nec illi ex ſcientia, nec iſti videntur ſcire quid dicant. Ferè etenim nullo modo videntur his vti, niſi paulum quiddam: nam & Anaxagoras, tanquam machina vtitur Intellectu ad mundi generationem. Et cùm dubitat propter quam cauſam neceſſariò eſt, tunc eum attrahit. In cæteris verò, magis cætera omnia, quàm intellectum, cauſam eorum quæ fiunt, ponit. Et Empedo-
E cles plus quidem iſto cauſis vtitur, neque ſufficienter tamen, neque in his reperit, quod ſequitur. Multis enim in locis apud eum amicitia quidem diſiungit, contentio verò coniungit. Cùm enim in elementa per contentionem vniuerſum diſſoluitur, tunc ignis in vnum coaleſcit, & cæterorum elementorum vnumquodque. Cùm autem rurſus per amicitiam in vnum conueniant, neceſſe eſt iterum particulas vniuſcuiuſque ſeparari. Empedocles itaque præter

οἷον καὶ Παρμενίδης. καὶ γὰρ οὗτος κατασκευάζων τὴν τοῦ παντὸς γένεσιν,

Πρώτιστον μὲν (φησὶ) ἔρωτα θεῶν μητίσατο πάντων·

Ἡσίοδος δέ,

Πάντων μὲν πρώτιστα χάος γένετ'· αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, ....
Ἠδ' ἔρος, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισιν.

ὡς δέον ἐν τοῖς οὖσιν ὑπάρχειν τινὰ αἰτίαν, ἥτις κινήσει καὶ συνάξει τὰ πράγματα. τούτους μὲν οὖν πῶς χρὴ διανεῖμαι περὶ τοῦ τίς πρῶτος, ἐξέστω κρίνειν ὕστερον. ἐπεὶ δὲ καὶ τἀναντία τοῖς ἀγαθοῖς ἐνόντα ἐφαίνετο ἐν τῇ φύσει, καὶ οὐ μόνον τάξις, καὶ τὸ καλόν, ἀλλ' ἀταξία, καὶ τὸ αἰσχρόν, καὶ πλείω τὰ κακὰ τῶν ἀγαθῶν, καὶ τὰ φαῦλα τῶν καλῶν· οὕτως ἄλλος τις φιλίαν εἰσήνεγκε, καὶ τὸ νεῖκος, ἑκάτερον ἑκατέρων αἴτιον τούτων. εἰ γὰρ τις ἀκολουθοίη, καὶ λαμβάνοι πρὸς τὴν διάνοιαν, καὶ μὴ πρὸς ἃ ψελλίζεται λέγων Ἐμπεδοκλῆς, εὑρήσει τὴν μὲν φιλίαν αἰτίαν τῶν ἀγαθῶν, τὸ δὲ νεῖκος τῶν κακῶν. ὥστ' εἴ τις φαίη τρόπον τινὰ καὶ λέγειν, καὶ πρῶτον λέγειν τὸ κακὸν καὶ τὸ ἀγαθὸν ἀρχὰς Ἐμπεδοκλέα, τάχ' ἂν λέγοι καλῶς· εἴπερ τὸ τῶν ἀγαθῶν ἁπάντων αἴτιον, αὐτὸ τὸ ἀγαθόν ἐστι, καὶ τῶν κακῶν, τὸ κακόν. οὗτοι μὲν οὖν, ὥσπερ λέγομεν, καὶ μέχρι τούτου δυοῖν αἰτίαιν ἐφήψαντο, ὧν ἡμεῖς διωρίσαμεν ἐν τοῖς περὶ φύσεως, τῆς τε ὕλης, καὶ τοῦ ὅθεν ἡ κίνησις· ἀμυδρῶς μέντοι καὶ οὐθὲν σαφῶς, ἀλλ' οἷον ἐν ταῖς μάχαις οἱ ἀγύμναστοι ποιοῦσι. καὶ γὰρ ἐκεῖνοι περιφερόμενοι, τύπτουσι πολλάκις καλὰς πληγάς· ἀλλ' οὔτε ἐκεῖνοι ἀπὸ ἐπιστήμης, οὔτε οὗτοι ἐοίκασιν εἰδόσι λέγειν ἃ λέγουσι. σχεδὸν γὰρ οὐθὲν χρώμενοι φαίνονται τούτοις, ἀλλ' ἢ κατὰ μικρόν. Ἀναξαγόρας τε γὰρ μηχανῇ χρῆται τῷ νῷ πρὸς τὴν κοσμοποιίαν· καὶ ὅταν ἀπορήσῃ, διὰ τίν' αἰτίαν ἐξ ἀνάγκης ἐστί, τότε ἕλκει αὐτόν. ἐν δὲ τοῖς ἄλλοις πάντα μᾶλλον αἰτιᾶται τῶν γινομένων, ἢ νοῦν. καὶ Ἐμπεδοκλῆς ἐπὶ πλέον μὲν τούτου χρῆται τοῖς αἰτίοις, οὐ μὴν οὔτε ἱκανῶς, οὔτ' ἐν τούτοις εὑρίσκει τὸ ὁμολογούμενον. πολλαχοῦ γοῦν αὐτῷ ἡ μὲν φιλία διακρίνει, τὸ δὲ νεῖκος συγκρίνει. ὅταν μὲν γὰρ εἰς τὰ στοιχεῖα διίστηται τὸ πᾶν ὑπὸ τοῦ νείκους, τότε τὸ πῦρ εἰς ἓν συγκρίνεται, καὶ τῶν ἄλλων στοιχείων ἕκαστον. ὅταν δὲ πάλιν ὑπὸ τῆς φιλίας συνίωσιν εἰς τὸ ἕν, ἀναγκαῖον ἐξ ἑκάστου τὰ μόρια διακρίνεσθαι πάλιν. Ἐμπεδοκλῆς μὲν οὖν

παρὰ τοὺς πρότερον, πρῶτος ταύτην τὴν αἰτίαν διελὼν εἰσήνεγκεν, οὐ μίαν ποιήσας τὴν τῆς κινήσεως ἀρχὴν, ἀλλ' ἑτέρας τε καὶ ἐναντίας. ἔτι δὲ καὶ τὰ ὡς ἐν ὕλης εἴδει λεγόμενα στοιχεῖα, τέτταρα πρῶτος εἶπεν. οὐ μὴν χρῆταί γε τέτταρσιν, ἀλλ' ὡς δυσὶν οὖσι μόνοις· πυρὶ μὲν καθ' αὑτὸ, τοῖς δ' ἀντικειμένοις, ὡς μιᾷ φύσει, γῇ τε καὶ ἀέρι, καὶ ὕδατι. λάβοι δὲ ἄν τις αὐτὸ θεωρῶν ἐκ τῶν ἐπῶν. οὗτος μὲν οὖν, ὥσπερ λέγομεν, οὕτως τε καὶ τοσαύτας εἴρηκεν ἀρχάς. Λεύκιππος δὲ, καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος, στοιχεῖα μὲν τὸ πλῆρες καὶ τὸ κενὸν εἶναι* φασι, λέγοντες, οἷον, τὸ μὲν ὄν, τὸ δὲ μὴ ὄν. τούτων δὲ τὸ μὲν πλῆρες καὶ στερεὸν, τὸ ὄν· τὸ δὲ κενόν γε καὶ μανὸν, τὸ μὴ ὄν. διὸ καὶ οὐθὲν μᾶλλον τὸ ὂν τοῦ μὴ ὄντος εἶναί φασιν, ὅτι* οὐδὲ τὸ κενὸν τοῦ σώματος. αἴτια δὲ τῶν ὄντων ταῦτα,* ὡς ὕλη. καὶ καθάπερ οἱ ἓν ποιοῦντες τὴν ὑποκειμένην οὐσίαν, τὰ ἄλλα τοῖς πάθεσιν αὐτῆς γεννῶσι, τὸ μανὸν καὶ τὸ πυκνὸν ἀρχὰς τιθέμενοι τῶν παθημάτων· τὸν αὐτὸν τρόπον καὶ οὗτοι τὰς διαφορὰς, αἰτίας τῶν ἄλλων εἶναί φασι. ταύτας μέντοι τρεῖς εἶναι λέγουσι, σχῆμά τε, καὶ τάξιν, καὶ θέσιν. διαφέρειν γάρ φασι τὸ ὂν ῥυσμῷ καὶ διαθιγῇ καὶ τροπῇ μόνον. τούτων δὲ ὁ μὲν ῥυσμὸς σχῆμά ἐστιν, ἡ δὲ* διαθιγὴ τάξις, ἡ δὲ τροπὴ θέσις. διαφέρει γὰρ τὸ μὲν α τοῦ ν σχήματι· τὸ δὲ α ν τοῦ ν α τάξει· τὸ δὲ ζ τοῦ ν θέσει. περὶ δὲ κινήσεως, ὅθεν ἢ πῶς ὑπάρχει τοῖς οὖσι, καὶ οὗτοι παραπλησίως τοῖς ἄλλοις ῥαθύμως ἀφῆκαν. περὶ μὲν οὖν τῶν δύο αἰτιῶν, ὥσπερ ἐλέγομεν, ἐπὶ τοσοῦτον ἔοικεν ἐζητῆσθαι παρὰ τῶν πρότερον.

κ. φασι, λέγοντες οἷον

γρ. οὐδὲ τὸ σῶμα τοῦ κενοῦ.

γρ. ὡς ὕλην

κ. διαθιγή. vt infrà, 82.

A alios antiquiores, primus hanc causam diuidens, introduxit: nec vnum motus principium, sed diuersa fecit, & contraria: & ad hæc, elementa, quæ in materiæ specie dicuntur, quatuor esse primus asseruit: non tamen eis vt quatuor vtitur, sed tanquam duo essent sola, igne quidem per se ipsum, oppositis verò, terra, aëre, & aqua, tanquam vna natura. Comprehendat autem quispiam id ipsum, ex eius carminibus contemplans. B Is igitur (vt diximus) ita, & tot principia asseruit. Leucippus verò ac eius familiaris Democritus, elementa quidem plenum & vacuum esse aiunt, dicentes hoc quidem ens, hoc verò non ens: & rursus, ens quidem, plenum & solidum, non ens autem, vacuum & rarum. Quare nihilo magis ipsum ens, quàm ipsum non ens, esse aiunt, quia neque vacuum, quàm corpus. Hæc autem causas existentium, vt materiam, esse. Et quemadmodum qui vnum faciunt subiectam substantiam, cætera passionibus eius generant, rarum & densum, C passionum statuentes principia, simili modo hi quoque differentias, causas cæterorum aiunt esse. Has autem tres dicunt, figuram, ordinem, & situm. Differre etenim ens aiunt duntaxat rysmo, diathige & trope: quorum rysmus quidem, figura: diathige verò, ordo: trope autem, situs est. Differt autem a ab n, figura: a n, verò ab n a, ordine: z autem ab n, situ. De motu verò, vnde vel quomodo existentibus inest, & hi perinde atque alii per negligentiam omiserunt. D Hactenus itaque de duabus causis, vt dicebamus, videtur quæsitum à prioribus fuisse.

## ΚΕΦΑΛ. ε'.

Πυθαγορείων καὶ Παρμενίδου, καὶ Ξενοφάνους, καὶ Μελίσσου δόξαι περὶ ἀρχῶν.

Ἐν δὲ τούτοις, καὶ πρὸ τούτων οἱ καλούμενοι Πυθαγόρειοι τῶν μαθημάτων ἁψάμενοι πρῶτον, ταῦτα προήγαγον, καὶ ἐντραφέντες ἐν αὐτοῖς, τὰς τούτων ἀρχὰς τῶν ὄντων ἀρχὰς ᾠήθησαν εἶναι πάντων. * ἐπεὶ δὲ τούτων οἱ ἀριθμοὶ φύσει πρῶτοι, ἐν δὲ τοῖς ἀριθμοῖς ἐδόκουν θεωρεῖν ὁμοιώματα πολλὰ τοῖς οὖσι καὶ γιγνομένοις μᾶλλον ἢ ἐν πυρὶ καὶ γῇ καὶ ὕδατι. (ὅτι τὸ μὲν τοιονδὶ τῶν ἀριθμῶν πάθος δικαιοσύνη, τὸ δὲ τοιονδὶ, ψυχή καὶ νοῦς·

Alexand. ἐπεὶ γὰρ, quem vide.

## CAPVT V.

*Pythagoreorum, Parmenidis, Xenophanis & Melissi placita de principiis.*

E INter hos verò, & ante istos, qui, appellati Pythagorici, primi mathematicis operam dederunt, illa præponebant, & in eis nutriti, eorum principia, entium quoque cunctorum esse putarunt principia. Cùm autem numeri priores his natura sint, in numeris verò plures similitudines tum ad existentia tum ad ea quę fiunt, quàm in igne, in terra, & in aqua inesse viderent, (talis etenim, vt puta numerorum passio, iustitia, talis vero anima, & intellectus,

alia verò tempus, cæterarum quoque, vt ita dicam, vnaquæque similiter,) item cùm harmoniarum in numeris inspicerent passiones, ac rationes: cùm itaque cætera quidem viderentur in omnibus numeris assimilari, numeri verò totius naturæ primi, numerorum elementa, entium quoque cunctorum elementa esse putarunt, totumque cælum harmoniam, & numerum esse, & illa quidem, quæ de numeris & harmoniis consentanea passionibus, & partibus cœli, ac vniuersi dispositioni monstrare poterant, colligentes applicabant. Quòd si quid alicubi deerat, supplebant, vt totus eius tractatus consentaneus esset. Dico autem, veluti, quoniam denarius perfectus esse videatur, totamque numerorum naturam comprehendere, ideo & ea quæ in cælo feruntur, decem esse aiunt. Cùm verò nouem solummodo sint, quæ manifestè apparent, decimam oppositam terram faciunt. Determinatum autem est à nobis alibi de his magis exquisitè. Sed cuius gratia hæc repetimus, hæc est: vt & ab his etiam accipiamus, quæ ponunt esse principia, & quomodo in dictas causas incidunt. Apparent etenim etiam isti numerum existimare, principium esse, vt materiam existentibus, & vt passiones, ac habitus: numeri autem elementa, par, & impar: quorum alterum finitum, alterum infinitum, vnum verò, ex ambobus his esse: par etenim & impar esse: numerum autem, ex vno: numeros verò, vt dictum est, totum cælum. Horum autem alii decem aiunt inter se coordinata esse principia:

A ἕτερον δὲ καιρός, καὶ τῶν ἄλλων, ὡς εἰπεῖν, ἕκαστον ὁμοίως·) ἔτι δὲ καὶ τῶν ἁρμονικῶν ἐν ἀριθμοῖς ὁρῶντες καὶ τὰ πάθη, καὶ τοὺς λόγους, ἐπεὶ τὰ μὲν ἄλλα τοῖς ἀριθμοῖς ἐφαίνετο τὴν φύσιν ἀφωμοιῶσθαι πᾶσιν, οἱ δὲ ἀριθμοὶ πάσης τῆς φύσεως πρῶτοι, τὰ τῶν ἀριθμῶν στοιχεῖα, τῶν ὄντων στοιχεῖα πάντων εἶναι ὑπέλαβον, καὶ ὅσα εἶχον, καὶ τὸν ὅλον οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμὸν ὁμολογούμενα δεικνύναι,
B ἔν τε τοῖς ἀριθμοῖς, καὶ ταῖς ἁρμονίαις πρὸς τὰ τοῦ οὐρανοῦ πάθη καὶ μέρη, καὶ πρὸς τὴν ὅλην διακόσμησιν ταῦτα συνάγοντες, ἐφήρμοττον. κἂν εἴ τί που πολὺ* διέλιπε, προσεγλίχοντο τοῦ συνειρομένην πᾶσαν περιειληφέναι τὴν τῶν ἀριθμῶν φύσιν, καὶ τὰ* φερόμενα κατὰ τὸν οὐρανόν, δέκα μὲν εἶναι φασιν· ὄντων δὲ ἐννέα μόνον τῶν φανερῶν, διὰ τοῦτο δεκάτην τὴν ἀντίχθονα ποιοῦσι. διώρισται δὲ περὶ τούτων ἐν ἑτέροις ἡμῖν ἀκριβέστερον.
C ἀλλ' οὗ δὴ χάριν* ἐπερχόμεθα, τοῦτ' ἐστὶν, ὅπως λάβωμεν καὶ παρὰ τούτων, τίνας εἶναι τιθέασι τὰς ἀρχάς, καὶ πῶς εἰς τὰς εἰρημένας ἐμπίπτουσιν αἰτίας. φαίνονται δὲ καὶ οὗτοι τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν εἶναι, καὶ ὡς ὕλην τοῖς οὖσι, καὶ πάθη τε καὶ ἕξεις. τοῦ δὲ ἀριθμοῦ στοιχεῖα, τὸ ἄρτιον καὶ τὸ περιττόν. τούτων δὲ τὸ μὲν πεπερασμένον, τὸ δὲ ἄπειρον· τὸ δὲ ἓν δὴ ἐξ ἀμφοτέρων εἶναι τούτων. καὶ γὰρ ἄρτιον εἶναι, καὶ περιττόν· τὸν δ' ἀριθμὸν ἐκ τοῦ ἑνός· ἀριθμοὺς δὲ, καθάπερ εἴρηται,
D τὸν ὅλον οὐρανόν. ἕτεροι δὲ τῶν αὐτῶν τούτων τὰς ἀρχὰς, δέκα λέγουσιν εἶναι τὰς κατὰ συστοιχίαν λεγομένας,

γρ. διέλιπε,

γρ. φαινόμενα

B

| | | | |
|---|---|---|---|
| finitum, | infinitum: | πέρας, | ἄπειρον· |
| impar, | par: | περιττόν, | ἄρτιον· |
| vnum, | plura: | ἕν, | πλῆθος· |
| dextrum, | sinistrum: | δεξιόν, | ἀριστερόν· |
| masculinum, | fœmininum: | ἄρρεν, | θῆλυ· |
| quiescens, | motum: | ἠρεμοῦν, | κινούμενον· |
| rectum, | curuum: | εὐθύ, | καμπύλον· |
| lumen, | tenebras: | φῶς, | σκότος· |
| bonum, | malum: | *ἀγαθόν, | κακόν· |
| quadratum, | longius altero latere. | τετράγωνον, | ἑτερόμηκες· |

Apud Themistiū pro istis legitur, Νοῦς, δόξα,

Quemadmodum etiam Alcmæo Crotoniates putasse videtur: & aut iste ab illis, aut illi ab isto hanc mutuati sunt opinionem. Fuit etenim ætate Alcmæo Pythagoræ iam senioris. Asseruit autem istis

ὅνπερ τρόπον ἔοικε καὶ Ἀλκμαίων ὁ Κροτωνιάτης ὑπολαβεῖν. καὶ ἤτοι οὗτος παρ' ἐκείνων, ἢ ἐκεῖνοι παρὰ τούτου, παρέλαβον τὸν λόγον τοῦτον. καὶ γὰρ ἐγένετο τὴν ἡλικίαν Ἀλκμαίων ἐπὶ γέροντι Πυθαγόρᾳ. ἀπεφήνατο

δὲ παραπλησίως τούτοις. φησὶ γὰρ εἶναι δύο τὰ πολλὰ τῶν ἀνθρωπίνων, λέγων τὰς ἐναντιότητας, οὐχ ὥσπερ οὗτοι διωρισμένας, ἀλλὰ τὰς τυχούσας, οἷον λευκὸν, μέλαν· γλυκὺ, πικρόν· ἀγαθὸν, κακόν· μικρὸν, μέγα. οὗτος μὲν οὖν ἀδιορίστως ἐπέρριψε περὶ τῶν λοιπῶν· οἱ δὲ Πυθαγόρειοι, καὶ πόσαι, καὶ τίνες αἱ ἐναντιώσεις, ἀπεφήναντο. παρὰ μὲν οὖν τούτων ἀμφοῖν τοσοῦτόν ἐστι λαβεῖν, ὅτι τἀναντία ἀρχαὶ τῶν ὄντων. τὸ δ' ὅσαι παρὰ τῶν ἑτέρων, καὶ τίνες αὗταί εἰσι. πῶς μὲν τοι πρὸς τὰς εἰρημένας αἰτίας ἐνδέχεται συνάγειν, σαφῶς μὲν οὐ διήρθρωται παρ' ἐκείνων· ἐοίκασι δ' ὡς ἐν ὕλης εἴδει τὰ στοιχεῖα τάττειν. ἐκ τούτων γὰρ ὡς ἐνυπαρχόντων, συνεστάναι καὶ πεπλάσθαι φασὶ τὴν οὐσίαν. τῶν μὲν οὖν παλαιῶν, καὶ πλείω τὰ στοιχεῖα λεγόντων τῆς φύσεως, ἐκ τούτων ἱκανόν ἐστι θεωρῆσαι τὴν διάνοιαν. εἰσὶ δέ τινες οἱ περὶ τοῦ παντὸς ὡς ἂν μιᾶς οὔσης φύσεως ἀπεφήναντο· τρόπον δὲ οὐ τὸν αὐτὸν πάντες, οὔτε τοῦ καλῶς, οὔτε τοῦ κατὰ φύσιν. εἰς μὲν οὖν τὴν νῦν σκέψιν τῶν αἰτίων, οὐδαμῶς συναρμόττει περὶ αὐτῶν ὁ λόγος. οὐ γὰρ ὥσπερ ἔνιοι τῶν φυσιολόγων ἓν ὑποθέμενοι τὸ ὄν, ὅμως γεννῶσιν ὡς ἐξ ὕλης τοῦ ἑνός, ἀλλ' ἕτερον τρόπον οὗτοι λέγουσιν. ἐκεῖνοι μὲν γὰρ προστιθέασι κίνησιν, γεννῶντές γε τὸ πᾶν· οὗτοι δὲ ἀκίνητον εἶναί φασιν. οὐ μὴν ἀλλὰ τοσοῦτόν γε οἰκεῖόν ἐστι τῇ νῦν σκέψει. Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ λόγον ἑνὸς ἅπτεσθαι. Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην. διὸ καὶ ὁ μὲν πεπερασμένον, ὁ δ' ἄπειρόν φησιν εἶναι αὐτό. Ξενοφάνης δὲ πρῶτος τούτων ἑνίσας, (ὁ γὰρ Παρμενίδης τούτου λέγεται μαθητής,) οὐδὲν διεσαφήνισεν, οὐδὲ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν· ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας, τὸ ἓν εἶναί φησι τὸν θεόν. οὗτοι μὲν οὖν, καθάπερ εἴπομεν, ἀφετέοι, πρὸς τὴν νῦν ζήτησιν· οἱ μὲν δύο, καὶ πάμπαν, ὡς ὄντες μικρὸν ἀγροικότεροι, Ξενοφάνης καὶ Μέλισσος· Παρμενίδης δὲ μᾶλλον βλέπων ἔοικέ που λέγειν. παρὰ γὰρ τὸ ὄν, τὸ μὴ ὂν οὐθὲν ἀξιῶν εἶναι, ἐξ ἀνάγκης ἓν οἴεται εἶναι τὸ ὄν, καὶ ἄλλο οὐθέν. περὶ οὗ σαφέστερον ἐν τοῖς περὶ φύσεως εἰρήκαμεν. ἀναγκαζόμενος δ' ἀκολουθεῖν τοῖς φαινομένοις, καὶ ἓν μὲν κατὰ λόγον, πλείω δὲ κατὰ τὴν αἴσθησιν ὑπολαμβάνων εἶναι, δύο τὰς αἰτίας, καὶ δύο τὰς ἀρχὰς τίθησι πάλιν, θερμὸν καὶ ψυχρόν, οἷον πῦρ καὶ γῆν λέγων. τούτων δὲ τὸ μὲν κατὰ τὸ ὄν, τὸ θερμὸν τάττει, θάτερον δὲ κατὰ τὸ μὴ ὄν.

A similiter. In duo namque plerumque humanas res ait distingui, contrarietates dicens: non tamen (vt illi) distinctas, sed quascunque, vt puta album, & nigrum: dulce, amarum: bonum, malum: paruum, magnum. Is itaque indistinctum de reliquis effudit sermonem. Pythagorici verò quot etiam & quæ sunt contrarietates, asseruerunt. Ex ambobus igitur his tantùm accipere est, quòd contraria principia entium sunt. Quot autem & quæ illa sint, ex cæteris solùm. Verùm quomodo illa ad dictas causas applicentur, B clarè quidem ab eis non est determinatum: videntur tamen, vt in materiæ specie ponere elementa. Ex his enim, tanquam intrinsecus, constare ac fingi substantiam aiunt. Veterum itaque, ac plura elementa naturæ dicentium, mentem ex his satis speculari licet. Sunt autem qui de vniuerso, tanquam si vna natura esset, ita asseruerunt: non tamen modo eodem omnes, neque eius quod bene, neque eius quod secundùm naturam est. In præsenti itaque C causarum consideratione, nullo modo conuenit sermo de eis. Non enim, vt quidam physicorum, vnum supponentes ipsum ens, nihilominùs ex vno tanquam ex materia generant, sed alio modo hi dicunt. Illi enim cùm generent vniuersum, addunt tamen motum. Hi verò immobile esse aiunt. Attamen aliquatenus præsenti perscrutationi proprium est. Parmenides etenim vnum secundùm rationem, attigisse videtur: Melissus verò, secundùm materiam. Quare id & ille quidem finitum, hic D verò infinitum ait esse. Xenophanes autem, quanquam prior istis, vnum posuerat, (nam Parmenides eius auditor fuisse dicitur,) nihil tamen clarum dixit, & neutrius horum naturam attigisse videtur: sed ad totum cælum respiciens, ipsum vnum ait esse Deum. Hi igitur, vt diximus, de præsenti quæstione omittendi. Duo quidem, & penitus tanquam paululum agrestiores, Xenophanes, atque Me- E lissus. Parmenides verò, magis vidisse quæ dixit, videtur. Quod enim est præter ipsum ens, ipsum non ens nihil iudicans esse, necessariò vnum putat ipsum ens esse, & nihil aliud. De quo clarius in De naturalibus diximus. Coactus verò illa, quæ apparent, sequi, & vnum ratione, plura verò secundùm sensum putans esse, duas causas rursum, ac duo principia ponit, calidum & frigidum, velut ignem & terram dicens. Horum autem alterum, calidum scilicet, cum ente, alterum verò cum non ente collocat.

Ex dictis itaque, ac ab illis qui rationi incubuerunt, sapientibus, ista accepimus. A primis quidem & corporale principium: aqua namque, & ignis, & similia, corpora sunt: & horum, à quibusdam vnum, à quibusdam plura corporalia principia: vtrisque tamen, ista vt in materiæ specie ponentibus: cæteris verò & hanc causam, & cum ista, etiam vnde motus, statuentibus: & hanc, à quibusdam vnam, à quibusdam duas. Vsque ad Italicos igitur, & absque illis, mediocriùs cæteri de eis dixerunt: nisi quòd, vt diximus, duabus causis vsi sunt: & harum alteram vnde motus, quidam vnam, quidam duas faciunt. Pythagorici verò, duo quidem eodem modo dixerunt principia. Tantùm autem addiderunt, quod proprium eorum est, quòd finitum, & infinitum, & vnum non putarunt vllas alias esse naturas, vt puta, ignem, aut terram, aut aliud simile: sed ipsum infinitum, & ipsum vnum, substantiam horum esse, de quibus prædicantur: quare & numerum & substantiam omnium esse. In hunc itaque modum & de his asseruerunt, & de ipso quid est, inceperunt quidem dicere, & definire, sed valde simpliciter tractarunt. Definiebant namque perfunctoriè: & cui primo dicta definitio inesset, hoc esse substantiam rei putarunt: perinde ac si quis putaret idem esse duplum, & dualitatem, quoniam primùm dualitati duplum inest: sed non est idem fortassis, duplo, & dualitati, esse: quod si non, ipsum vnum erit multa, quod illis quoque accidebat. A prioribus quidem, & cæteris hæc demum licet accipere.

A ἐκ μὲν οὖν τῶν εἰρημένων, καὶ παρὰ τῶν συνηδρευκότων ἤδη τῷ λόγῳ σοφῶν, ταῦτα παρειλήφαμεν· παρὰ μὲν τῶν πρώτων, σωματικήν τε τὴν ἀρχήν, (ὕδωρ γὰρ καὶ πῦρ καὶ τὰ τοιαῦτα, σώματά ἐστι,) καὶ τῶν μὲν μίαν, τῶν δὲ πλείους ἀρχὰς τὰς σωματικάς· ἀμφοτέρων μέντοι ταύτας ὥσπερ ὕλης εἴδη τιθέντων· παρὰ δέ τινων ταύτην τε αἰτίαν τιθέντων, καὶ πρὸς ταύτῃ τὴν ὅθεν ἡ κίνησις, καὶ ταύτην παρὰ τῶν μὲν μίαν, παρὰ τῶν δὲ δύο. μέχρι μὲν οὖν τῶν Ἰταλικῶν, καὶ χωρὶς ἐκείνων, * μετριώτερον B εἰρήκασιν οἱ ἄλλοι περὶ αὐτῶν· πλὴν ὥσπερ εἴπομεν, δυοῖν τε αἰτίαιν τυγχάνουσι κεχρημένοι· καὶ τούτων τὴν ἑτέραν, οἱ μὲν μίαν, οἱ δὲ δύο ποιοῦσι, τὴν ὅθεν ἡ κίνησις. οἱ δὲ Πυθαγόρειοι, δύο μὲν τὰς ἀρχὰς κατὰ τὸν αὐτὸν εἰρήκασι τρόπον. τοσοῦτον δὲ προσεπέθεσαν, ὃ καὶ ἴδιόν αὐτῶν ἐστιν, ὅτι τὸ πεπερασμένον, καὶ τὸ ἄπειρον, καὶ τὸ ἓν οὐχ ἑτέρας τινὰς ᾠήθησαν εἶναι φύσεις, οἷον, πῦρ ἢ γῆν, ἢ C τοιοῦτον ἕτερον, ἀλλ' αὐτὸ τὸ ἄπειρον, καὶ αὐτὸ τὸ ἕν, οὐσίαν εἶναι τούτων, ὧν κατηγοροῦνται· διὸ καὶ ἀριθμὸν εἶναι τὴν οὐσίαν ἁπάντων. περί τε τούτων οὖν τοῦτον ἀπεφήναντο τὸν τρόπον, καὶ περὶ τοῦ τί ἐστιν, ἤρξαντο μὲν λέγειν καὶ ὁρίζεσθαι, λίαν δ' ἁπλῶς ἐπραγματεύθησαν. ὡρίζοντό τε γὰρ ἐπιπολαίως, καὶ ᾧ πρώτῳ ὑπάρξειεν ὁ λεχθεὶς ὅρος, τοῦτ' εἶναι τὴν οὐσίαν τοῦ πράγματος ἐνόμισαν. ὥσπερ εἴ τις οἴοιτο ταὐτὸν D εἶναι διπλάσιον καὶ τὴν δυάδα· διότι πρῶτον ὑπάρχει τοῖς δυσὶ τὸ διπλάσιον. ἀλλ' οὐ ταὐτὸν ἴσως ἐστὶ τὸ εἶναι διπλασίῳ καὶ δυάδι. εἰ δὲ μή, πολλὰ τὸ ἓν ἔσται, ὃ κἀκείνοις συνέβαινε. παρὰ μὲν οὖν τῶν πρώτων καὶ τῶν ἄλλων, τοσαῦτά ἐστι λαβεῖν.

* γρ. μαλακώτερον, ait Alexander.

## CAPVT VI.

*Platonis sententia de principiis: Epilogus eorum quæ hactenus dicta sunt.*

POst dictas verò philosophias disciplina Platonis superuenit, in plerisque quidem istos secuta, quædam autem etiam propria vltra Italicorum habens philosophiam. Cum Cratylo namque ex recenti conuersatus, & Heracliti opinionibus assuetus, tanquam omnibus sensibilibus semper defluentibus,

## ΚΕΦΑΛΑΙΑ. ς'.

E Πλάτωνος δόξα περὶ τῶν ἀρχῶν· καὶ τῶν προειρημένων ἐπίλογος.

ΜΕΤΑ δὲ τὰς εἰρημένας φιλοσοφίας, ἡ Πλάτωνος ἐπεγένετο πραγματεία, τὰ μὲν πολλὰ τοῖς Πυθαγορείοις τούτοις ἀκολουθοῦσα, τὰ δὲ καὶ ἴδια παρὰ τὴν τῶν Ἰταλικῶν ἔχουσα φιλοσοφίαν. ἐκ νέου τε γὰρ συγγενόμενος πρῶτον Κρατύλῳ, καὶ ταῖς Ἡρακλειτείοις δόξαις, ὡς ἁπάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων,

καὶ ἐπιστήμης περὶ αὐτῶν οὐκ οὔσης, ταῦτα μὲν καὶ ὕστερον οὕτως ὑπέλαβε. Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου, περὶ δὲ τῆς ὅλης φύσεως οὐθὲν, ἐν μέντοι τούτοις τὸ καθόλου ζητοῦντος, καὶ περὶ ὁρισμῶν ἐπιστήσαντος πρώτου τὴν διάνοιαν, ἐκεῖνον ἀποδεξάμενος, διὰ τὸ ζητῆσαι περὶ τῶν καθόλου, τοιοῦτον ὑπέλαβεν, ὡς περὶ ἑτέρων τοὺς ὁρισμοὺς τούτους γινομένους, καὶ οὐ περὶ τῶν αἰσθητῶν τινος. ἀδύνατον γὰρ εἶναι τὸν κοινὸν ὅρον τῶν αἰσθητῶν τινος, ἀεί γε μεταβαλλόντων. * οὗτος οὖν τὰ μὲν τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσε, * τὰ δ' αἰσθητὰ περὶ τὰ παρὰ ταῦτα, καὶ κατὰ ταῦτα λέγεσθαι πάντα. κατὰ μέθεξιν γὰρ εἶναι τὰ πολλὰ τῶν συνωνύμων ὁμώνυμα τοῖς εἴδεσι. τὴν δὲ μέθεξιν τοὔνομα μόνον μετέβαλλε. οἱ μὲν γὰρ Πυθαγόρειοι, μιμήσει τὰ ὄντα φασὶν εἶναι τῶν ἀριθμῶν· Πλάτων δὲ, μεθέξει, τοὔνομα μεταβαλών. τὴν μέντοι γε μέθεξιν ἢ τὴν μίμησιν, ἥτις ἂν εἴη τῶν εἰδῶν, ἀφεῖσαν ἐν κοινῷ ζητεῖν. ἔτι δὲ παρὰ ταῦτα αἰσθητὰ καὶ τὰ εἴδη, τὰ μαθηματικὰ τῶν πραγμάτων εἶναί φασι μεταξὺ, διαφέροντα τῶν μὲν αἰσθητῶν, τῷ ἀΐδια καὶ ἀκίνητα εἶναι· τῶν δ' εἰδῶν, τῷ τὰ μὲν πολλ' ἄττα ὅμοια εἶναι, τὸ δὲ εἶδος αὐτὸ, ἓν ἕκαστον μόνον. ἐπεὶ δ' αἴτια τὰ εἴδη τοῖς ἄλλοις, τἀκείνων στοιχεῖα πάντων ᾠήθη τῶν ὄντων εἶναι στοιχεῖα. ὡς μὲν οὖν ὕλην τὸ μέγα καὶ τὸ μικρὸν εἶναι ἀρχὰς, ὡς δ' οὐσίαν, τὸ ἕν. ἐξ ἐκείνων γὰρ τὰ κατὰ μέθεξιν τοῦ ἑνὸς, τὰ εἴδη εἶναι τοὺς ἀριθμούς. τὸ μέντοι γε * ἓν ὡς οὐσίαν εἶναι, καὶ μὴ ἕτερόν τι ὂν λέγεσθαι ἕν, παραπλησίως τοῖς Πυθαγορείοις ἔλεγε, καὶ τὸ τοὺς ἀριθμοὺς αἰτίους εἶναι τοῖς ἄλλοις τῆς οὐσίας, ὡσαύτως ἐκείνοις· τὸ δὲ ἀντὶ τοῦ ἀπείρου ὡς ἑνὸς δυάδα ποιῆσαι, τὸ δ' ἄπειρον ἐκ μεγάλου καὶ μικροῦ, τοῦτ' ἴδιον. καὶ ἔτι ὁ μὲν τοὺς ἀριθμοὺς παρὰ τὰ αἰσθητὰ, οἱ δ' ἀριθμοὺς εἶναί φασιν αὐτὰ τὰ πράγματα, καὶ τὰ μαθηματικὰ μεταξὺ τούτων οὐ τιθέασι. τὸ μὲν οὖν τὸ ἓν καὶ τοὺς ἀριθμοὺς παρὰ τὰ πράγματα ποιῆσαι, καὶ μὴ ὥσπερ οἱ Πυθαγόρειοι, καὶ ἡ τῶν εἰδῶν εἰσαγωγὴ διὰ τὴν ἐν τοῖς λόγοις ἐγένετο σκέψιν. οἱ γὰρ πρότεροι διαλεκτικῆς οὐ μετεῖχον. τὸ δὲ δυάδα ποιῆσαι τὴν ἑτέραν φύσιν, διὰ τὸ τοὺς ἀριθμοὺς ἔξω τῶν πρώτων εὐφυῶς ἐξ αὐτῆς γεννᾶσθαι, ὥσπερ ἔκ τινος ἐκμαγείου· καίτοι συμβαίνει γ' ἐναντίως.

Bess. οὕτως οὖν

γρ. τὰ δ' αἰσθ. περὶ ταῦτα πάντα τ. καὶ κ. al. τὰ δ' αἰσθ. παρὰ τ. καὶ κ.

Sic leg. cum Bess. non ὄν, vt vulgò. Ide mox quoque legit, τὸ ἓν λ. minùs rectè.

A &c de eis non existente scientia, hæc quidem etiam postea ita arbitratus est. Cùm verò Socrates de moralibus quidem tractaret, de tota verò natura nihil, in his tamen vniuersale quæreret, & primus mentem ad definitiones applicaret, illum ob hoc laudans, putauit, de aliis, & non de aliquo sensibilium hoc fieri. Impossibile enim definitionem communem, cuiuspiam sensibilium esse, quæ semper mutantur: B & sic talia entium ideas appellauit: sensibilia verò præter hæc, & secundùm hæc, omnia dici. Secundùm participationem namque, hæc multa vniuocorum esse speciebus æquiuoca: participationem verò, secundùm nomen solùm, mutauit. Pythagorici etenim imitatione numerorum aiunt entia esse: Plato verò nomen mutando, participatione: participationem verò, aut imitationem specierum, quænam sit, communi- C ter quærere omiserunt. Item præter sensibilia, & species mathematicas, res ait medias esse à sensibilibus quidem differentes, eo quòd perpetuæ & immobiles sunt: à speciebus verò, eo quòd illæ quidem multæ, quædam similes sunt, species verò ipsa, vnaquæque sola. Et quoniam species causæ cæteris, illarum elementa omnium putauit entium elementa esse: & vt materiam quidem magnum & paruum esse principia, tanquam verò substantiam ipsum v- D num: ex illis enim participatione ipsius vnius, species numeros esse: ipsum tamen vnum substantiam esse, & non aliquid aliud, dici vnum esse, quemadmodum Pythagorici: dicebat numeros quoque causas cæteris substantiæ esse, similiter atque illi. Sed pro infinito tanquam vno, dualitatem facere, infinitum verò ex magno & paruo, hoc eius proprium est. Item is quidem numeros præter sensibilia, illi verò numeros ipsas res esse aiunt, & E mathematica in medio horum non ponebant. Ipsum igitur vnum, & numeros præter res facere, & non vt Pythagorici, & introductio specierum, propter eam, quæ in orationibus sit, perscrutationem, euenit. Priores enim, dialecticæ expertes fuerunt. Dualitatem verò facere alteram naturam, propterea quòd numeri præter primos, ex ea aptissimè, velut ex quadam effigie, generantur. Atqui accidit è contra. Non enim verisimile est, ita fieri. Nunc etenim

A ex materia multa faciunt. Species verò, semel generat solùm. Apparet autem ex vna materia, vna mensa. Qui verò speciem inducit, quæ vna est, multas facit. Similiter autem & masculus ad fœminam se habet. Hæc etenim ex vno congressu adimpletur: masculus verò multas implet. At ista: imitationes illorum principiorum sunt. Plato igitur de propositis quæstionibus ita determinauit. Patet autem ex dictis, B quòd duabus causis vtitur solùm, ea, quæ ipsius quid est, & ea, quæ secundùm materiam. Species enim cæteris ipsius quid sint, causæ sunt, speciebus verò ipsum vnum, & quæ subiecta materia, de qua species: illa quidem de sensibilibus, illud verò in speciebus, vnum dicitur, quia dualitas hæc est, magnum, & paruum. Item ipsius bene, ipsiusque malè, causam elementis attribuit vtrisque vtramque. Quod etiam primorum quosdam philosophorum Empedoclem & Anaxagoram magis dicimus quæsiuisse. C Breuiter igitur & summatim percurrimus, quinam & quomodo locuti sunt de principiis, & ipsa veritate. Tantum enim ex eis habemus, quòd eorum, qui de principio & causa dixerunt, nemo quicquam præterea quæ in De naturalibus determinata sunt, dixerit: sed omnes, obscurè quidem, illa tamen aliquatenus visi sunt attingere. Quidam enim vt materiam principium ponunt, siue vnam, siue plures supponant, & siue, corpus siue incorpoream ponant, vt Plato magnum & D paruum dicens: Italici infinitum: Empedocles ignem, & terram, & aquam, & aërem: Anaxagoras verò, infinitatem similium partium. Hi igitur omnes talem causam perstrinxerunt: & ad hæc quicunque aërem, aut ignem, aut aquam, aut igne quidem densius, aëre verò tenuius. Etenim tale quidam dixerunt, primum elementum esse. Hi igitur hanc attigerunt causam solam. Alii verò quidam vnde principium motus, quicunque scilicet amicitiam & con- E tentionem, intellectum, aut amorem principium faciunt. Ipsum verò quod quid erat esse, & substantiam, clarè quidem nullus assignauit: maximè verò dicunt, qui species ponunt: nec enim vt materiam sensibilibus species, & ea quæ in speciebus sunt, neque tanquam illinc principium motus fieret, putant. Immobilitatis enim causam, & quietis, magis eis esse aiunt: sed quod quid erat esse vnicuique cæterorum species attribuunt: speciebus autem, ipsum vnum.

A οὐ γὰρ εὐλόγως οὕτως. νῦν μὲν γὰρ ἐκ τῆς ὕλης πολλὰ ποιοῦσιν, τὸ δ' εἶδος ἅπαξ γεννᾷ μόνον. φαίνεται δ' ἐκ μιᾶς ὕλης μία τράπεζα· ὁ δὲ τὸ εἶδος ἐπιφέρων, ἓν ὄν, πολλὰς ποιεῖ. ὁμοίως δ' ἔχει καὶ τὸ ἄρρεν πρὸς τὸ θῆλυ. τὸ μὲν γὰρ ὑπὸ μιᾶς πληροῦται ὀχείας, τὸ δ' ἄρρεν πολλὰ πληροῖ. καίτοι ταῦτα μιμήματα τῶν ἀρχῶν ἐκείνων ἐστί· Πλάτων μὲν οὖν περὶ ζητουμένων οὕτως B διώρισε· φανερὸν δ' ἐκ τῶν εἰρημένων, ὅτι δυοῖν αἰτίαιν ἐστὶ μόνον κεχρημένος, τῇ τε τοῦ τί ἐστι, καὶ τῇ κατὰ τὴν ὕλην. τὰ γὰρ εἴδη τοῦ τί ἐστιν, αἴτια τοῖς ἄλλοις, *τοῖς δ' εἴδεσι τὸ ἕν, καὶ τίς ἡ ὕλη ἡ ὑποκειμένη, *καθ' ἧς τὰ εἴδη, τὰ μὲν ἐπὶ τῶν αἰσθητῶν, τὸ δ' ἓν, ἐν τοῖς εἴδεσι λέγεται. ὅτι αὕτη δυάς ἐστι τὸ μέγα καὶ τὸ μικρόν. ἔτι δὲ τὴν τοῦ εὖ καὶ τοῦ κακῶς αἰτίαν, τοῖς στοιχείοις ἀπέδωκεν ἑκατέροις ἑκατέραν. ὅπερ μᾶλλόν φαμεν καὶ τῶν προτέρων ἐπιζητῆσαί τινας φιλοσόφους, οἷον Ἐμπεδοκλέα C καὶ Ἀναξαγόραν. συντόμως μὲν οὖν καὶ κεφαλαιωδῶς ἐπεληλύθαμεν τίνες τε καὶ πῶς τυγχάνουσιν εἰρηκότες, περί τε τῶν ἀρχῶν καὶ τῆς ἀληθείας. ὅμως δὲ τοσοῦτόν γ' ἔχομεν ἐξ αὐτῶν, ὅτι τῶν λεγόντων περὶ ἀρχῆς καὶ αἰτίας, οὐθεὶς ἔξω τῶν ἐν τοῖς περὶ φύσεως ἡμῖν διωρισμένων εἴρηκεν, ἀλλὰ πάντες ἀμυδρῶς μέν, ἐκείνων δέ πως φαίνονται θιγγάνοντες. οἱ μὲν γὰρ ὡς ὕλην τὴν ἀρχὴν λέγουσιν, ἄν τε μίαν, ἄν τε πλείους ὑποθῶσι, καὶ ἐάν τε σῶμα, ἐάν τε ἀσώματον τιθῶσιν. οἷον Πλάτων μὲν τὸ μέγα καὶ D τὸ μικρὸν λέγων· οἱ δ' Ἰταλικοί, τὸ ἄπειρον· Ἐμπεδοκλῆς δέ, πῦρ, καὶ γῆν, καὶ ὕδωρ καὶ ἀέρα· Ἀναξαγόρας δέ, τὴν τῶν ὁμοιομερῶν ἀπειρίαν. οὗτοί τε δὴ πάντες τῆς τοιαύτης αἰτίας ἡμμένοι εἰσί, καὶ ἔτι ὅσοι ἀέρα, ἢ πῦρ, ἢ ὕδωρ, ἢ πυρὸς μὲν πυκνότερον, ἀέρος δὲ λεπτότερον. καὶ γὰρ τοιοῦτόν τινες εἰρήκασιν εἶναι τὸ πρῶτον στοιχεῖον. οὗτοι μὲν οὖν ταύτης τῆς αἰτίας ἥψαντο μόνον· ἕτεροι δέ τινες, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ὅ- E σοι φιλίαν καὶ νεῖκος, ἢ νοῦν, ἢ ἔρωτα ποιοῦσιν ἀρχήν. τὸ δὲ τί ἦν εἶναι καὶ τὴν οὐσίαν, σαφῶς μὲν οὐδεὶς ἀποδέδωκε· μάλιστα δ' οἱ τὰ εἴδη .·. καὶ τὰ ἐν τοῖς εἴδεσι] τιθέντες λέγουσιν. οὔτε γὰρ ὡς ὕλην τοῖς αἰσθητοῖς τὰ εἴδη, καὶ τὰ ἐν τοῖς εἴδεσιν, οὔθ' ὡς ἐντεῦθεν τὴν ἀρχὴν τῆς κινήσεως γινομένην ὑπολαμβάνουσιν. ἀκινησίας γὰρ αἴτια μᾶλλον, καὶ τοῦ ἐν ἠρεμίᾳ εἶναί φασιν· ἀλλὰ τὸ τί ἦν εἶναι ἑκάστῳ τῶν ἄλλων τὰ εἴδη παρέχονται, τοῖς δ' εἴδεσι, τὸ ἕν.

γρ. τοῖς δ' εἴδεσι nō rectè. vide Alex.
κ. καθ' ἧς μὲν τὰ εἴδη τὰ ἐστιν. ait Alex.

τὸ δ' οὗ ἕνεκα αἱ πράξεις καὶ αἱ μεταβολαὶ καὶ αἱ κινήσεις, τρόπον μέν τινα λέγουσιν αἴτιον, οὕτω δὲ οὐ λέγουσιν, οὐδ' ὅνπερ πέφυκεν. οἱ μὲν γὰρ νοῦν λέγοντες ἢ φιλίαν, ὡς ἀγαθὸν μὲν ταύτας τὰς αἰτίας τιθέασιν· οὐ μὴν ὡς ἕνεκά γε τούτων ἢ ὂν, ἢ γινόμενόν τι τῶν ὄντων, ἀλλ' ὡς ἀπὸ τούτων, τὰς κινήσεις εἶναι τούτων λέγουσιν. ὡς δ' αὔτως καὶ οἱ τὸ ἓν, ἢ τὸ ὂν φάσκοντες εἶναι τὴν τοιαύτην φύσιν, τῆς μὲν οὐσίας αἴτιόν φασιν εἶναι, οὐ μὴν τούτου γε ἕνεκα, ἢ εἶναι ἢ γίνεσθαι. B ὥστε λέγειν τε καὶ μὴ λέγειν πως συμβαίνει αὐτοῖς τἀγαθὸν τοιοῦτον αἴτιον. οὐ γὰρ ἁπλῶς, ἀλλὰ κατὰ συμβεβηκὸς λέγουσιν. ὅτι μὲν οὖν ὀρθῶς διώρισται περὶ τῶν αἰτίων, καὶ πόσα, καὶ ποῖα, μαρτυρεῖν ἐοίκασιν ἡμῖν καὶ οὗτοι πάντες, οὐ δυνάμενοι θιγεῖν ἄλλης αἰτίας. πρὸς δὲ τούτοις, ὅτι ζητητέαι αἱ ἀρχαὶ, ἢ οὕτως ἅπασαι, ἢ τινα τρόπον τούτων, δῆλον. πῶς δὲ τούτων ἕκαστος εἴρηκε, καὶ πῶς ἔχει περὶ τῶν ἀρχῶν, τὰς C ἐνδεχομένας ἀπορίας, μετὰ τοῦτο διέλθωμεν περὶ αὐτῶν.

A Ipſum verò, cuius gratia actiones, mutationes, & motus, quodammodo quidem dicunt cauſam, non autem ita dicunt, vt aptum eſſe natum eſt. Qui enim intellectum, aut amicitiam dicunt, tanquam bonum quoddam hæc ponunt, non tamen tanquam horum cauſa, quicquam exiſtentium, aut ſit, aut fiat, ſed tanquam ex his motus eorum eſſent, ita dicunt. Similiter & qui vnum vel ens eſſe hanc naturam aiunt, ſubſtantiæ quidem cauſam eſſe dicunt, non tamen huius cauſa, aut eſſe, aut fieri. Quare contingit eis quodam modo dicere & negare, bonum eſſe tale. Non enim ſimpliciter, ſed ſecundùm accidens dicunt. Quòd igitur de cauſis, & quot, & quales ſint, recte determinatum ſit, teſtari nobis etiam iſti omnes videntur, cùm non poſſint aliam attingere cauſam: & ad hæc quòd principia, aut ita omnia, aut horum aliquo modo quærenda ſint, patet. Quo verò pacto horum quiſque dixerit, & quomodo de principiis ſe res habet, dubitationes, quæ contingere poſſunt de his ipſis, deinceps percurramus.

Sic leg. cum interprete, vulgò λέγουσι, & τ. antiquo errore. γρ. ἐκ δὲ τ. σ.μ. αἰ.τ. διώτι, μ. τ.τ. ἐπ. κ. π.τ.ρ.τ. & ita Argyrop. aliíq; interpp. Inclusa his notis ∵ ] expuncta ſunt ab omnibus interpr. quæ tamen in vet. cod. reperiũtur.

## ΚΕΦΑΛΑΙΑ. ζ'.

*Παλαιῶν ἔλεγχος περὶ τῶν ἀρχῶν.*

ΟΣΟΙ μὲν οὖν ἕν τε τὸ πᾶν καὶ μίαν εἶναι τινα φύσιν ὡς ὕλην τιθέασι, καὶ ταύτην σωματικὴν καὶ μέγεθος ἔχουσαν, δῆλον ὅτι πολλαχῶς ἁμαρτάνουσι. τῶν γὰρ σωμάτων τὰ στοιχεῖα τιθέασι μόνον, τῶν δὲ ἀσωμάτων οὔ, ὄντων καὶ ἀσωμάτων. καὶ περὶ γενέσεως καὶ φθορᾶς ἐπιχειροῦντες τὰς αἰτίας * λέγειν, καὶ περὶ πάντων φυσιολογοῦντες, τὸ τῆς κινήσεως αἴτιον ἀναιροῦσιν. * ἔτι δὲ τὸ τὴν οὐσίαν μηδενὸς αἰτίαν τιθέναι, μηδὲ τὸ τί ἐστι. καὶ πρὸς τούτοις, τὸ ῥᾳδίως τῶν ἁπλῶν σωμάτων εἶναι ἀρχὴν ὁτιοῦν (πλὴν γῆς) ∵ μὴ δοξάζοντες, E ἐκ στοιχείων ἢ μεταβολὴν,] οὐκ ἐπισκεψάμενοι τὴν ἐξ ἀλλήλων γένεσιν πῶς ποιοῦνται. λέγω δὲ πῦρ καὶ ὕδωρ, καὶ γῆν καὶ ἀέρα. τὰ μὲν γὰρ συγκρίσει, τὰ δὲ διακρίσει ἐξ ἀλλήλων γίνεται. τοῦτο δὲ πρὸς τὸ πρότερον εἶναι καὶ ὕστερον, * διαφέρει πλεῖστον. τῇ μὲν γὰρ ἂν δόξειε στοιχειωδέστατον εἶναι πάντων * ἐξ οὗ γίνεται συγκρίσει πρώτου. τοιοῦτον δὲ τὸ μικρομερέστατον καὶ λεπτότατον ἂν εἴη τῶν σωμάτων. διόπερ ὅσοι πῦρ ἀρχὴν τιθέασι, μάλιστα ὁμολογουμένως ἂν τῷ λόγῳ τούτῳ λέγοιεν.

∴ Sic leg. cum melioribus interpp. vulgò iã olim, διαφέρει πλεῖ. τῶ μ. ἀ γ. malè. γρ. ἐξ οὗ γίγ. & ita quidam interpr.

## CAPVT VII.

*Placita veterum de principiis refellit.*

QVicunque igitur vniuerſum vnum, & vnam quandam eſſe naturam, vt materiam ponunt, & hanc corporalem, & magnitudinem habentem, D patet quòd multipliciter errant. Corporum enim elementa ſolùm ponunt, incorporeorum verò minimè, cùm etiam incorporea ſint. Cumque de generatione & corruptione cauſas dicere conarentur, & de natura omnium rationes reddere, motus cauſam perimunt. Item ſubſtantiam nullius cauſam ponendo, nec ipſum quid eſt, & ad hæc facilè ſimplicium corporum quodcunque principium eſſe (terra excepta) non conſiderantes, mutuam inter ea generationem quoquo modo ponunt. Dico autem ignem, terram, aquam, & aërem. Quædam enim coniunctione, quædam verò diſiunctione inuicem fiunt. Hoc verò ad hoc vt prius & poſterius ſit, multum differt. Id etenim apparere poſſit maximè omnium elementale, ex quo primo coniunctione fiunt. Tale verò illud fuerit profectò, quod partium minutiſſimarum, ſubtiliſſimumque corporum ſit. Quicunque ignem principium ſtatuunt, maximè conuenienter huic rationi dicent.

Tale autem cæterorum quod quisque fatetur elementum corporum esse. Quare nemo posteriorum, qui vnum ponebant, terram elementum existimauerat, scilicet propter partium magnitudinem. Trium verò quodcunque elementorum habuit authorem aliquem: quidam enim ignem, quidam aquam, quidam aërem, hoc aiunt esse. At cur non dicunt & terram, vt multi hominum? omnia etenim terram esse dicunt. Hesiodus quoque primam corporum terram ait esse, tam vulgarem & publicam accidit hanc opinionem esse. Secundùm hanc itaque rationem, si quis aut quicquam horum excepto igne, dicat aut aëre quidem densius, aqua verò tenuius hoc ponat, non rectè profectò inquiet. Quòd si id generatione posterius, natura prius sit, quòd verò digestum & coniunctum generatione posterius sit, contrarium his esset vtique: aqua quidem aëre prior, terra verò hac ipsa aqua. De his igitur, qui vnam (qualem diximus) causam ponunt, hæc dicta sint. Id ipsum autem, & si quis hæc plura ponit, vt Empedocles quatuor corpora ait esse materiam: & huic enim partim eadem, partim propria necesse est accidere. Nam & quòd ex inuicem fiunt, videmus, tanquam non semper igne & terra manente eodem corpore. Dictum autem de eis in De naturalibus est, déque causa mouentium: vnum, an duo ponenda sint, neque rectè, neque irrationabiliter omnino arbitrandum est dictum fuisse. Et simpliciter alterationem auferant necesse est, qui ita dicunt. Non enim ex calido frigidum, nec ex frigido calidum erit. quidnam enim ipsa contraria patiantur, & quænam vna natura sit, quæ ignis & aqua fiat? quod ille minimè inquit. Anaxagoram verò si quis putat duo dicere elementa, maximè secundùm rationem arbitrabitur, quam ille quidem ipse non digessit: necessariò tamen sequeretur eos qui eam inferrent: quando quidem aliter absurdum sit dicere à principio omnia mista esse, tum quoniam accidit immista oportere antea esse, tum quoniam non est natura aptum quodcunque cuicunque misceri. Et ad hæc quoniam passiones & accidentia separarentur à substantiis: eorundem enim est mistio, & separatio. Si quis tamen sequatur digerens vnà cùm eo, quod dicere vult, fortassis videatur quædam noua dicere. Quando enim nil erat separatum, patet quòd nil erat verè de illa substantia dicendum: Dico autem quòd neque album, neque nigrum, aut fuscum, aut aliuin colorem,

A ποιοῦσι δὲ καὶ τῶν ἄλλων ἕκαστος ὁμολογεῖ τὸ στοιχεῖον εἶναι, τὸ τῶν σωμάτων. οὐδεὶς γοῦν τῶν ὕστερον ἠξίωσε καὶ ἓν λεγόντων γῆν εἶναι στοιχεῖον, δηλονότι διὰ τὴν μεγαλομέρειαν. τῶν δὲ τριῶν ἕκαστον στοιχείων, εἴληφε κριτήν τινα. οἱ μὲν γὰρ πῦρ, οἱ δὲ ὕδωρ, οἱ δ' ἀέρα τοῦτ' εἶναί φασι. καίτοι διὰ τί ποτ' οὐ καὶ τὴν γῆν λέγουσιν, ὥσπερ οἱ πολλοὶ τῶν ἀνθρώπων; πάντα γὰρ εἶναί φασι τὴν γῆν. φησὶ δὲ καὶ Ἡσίοδος τὴν γῆν πρώτην γενέσθαι τῶν σωμάτων·
B οὕτως ἀρχαίαν καὶ δημοτικὴν συμβέβηκεν εἶναι τὴν ὑπόληψιν. κατὰ μὲν οὖν τοῦτον τὸν λόγον, οὔτ' εἴ τις τούτων τι λέγει πλὴν πυρός, οὔτ' εἴ τις ἀέρος μὲν πυκνότερον τοῦτο τίθησιν, ὕδατος δὲ λεπτότερον, οὐκ ὀρθῶς ἂν λέγοι. εἰ δ' ἐστὶ τὸ τῇ γενέσει ὕστερον τῇ φύσει πρότερον, τὸ δὲ συμπεπεμμένον καὶ συγκεκριμένον ὕστερον τῇ γενέσει, τοὐναντίον ἂν εἴη τούτων, ὕδωρ μὲν ἀέ-
C ρος πρότερον, γῆ δὲ ὕδατος. περὶ μὲν οὖν τῶν μίαν τιθεμένων αἰτίαν οἵαν εἴπομεν, ἔστω ταῦτ' εἰρημένα. τὸ δ' αὐτό, κἂν εἴ τις ταῦτα πλείω τίθησιν, οἷον Ἐμπεδοκλῆς τέτταρά φησιν εἶναι σώματα, τὴν ὕλην. καὶ γὰρ τούτῳ τὰ μὲν ταὐτά, τὰ δ' ἴδια συμβαίνειν ἀνάγκη. γιγνόμενά τε γὰρ ἐξ ἀλλήλων ὁρῶμεν, ὡς οὐκ ἀεὶ διαμένοντος πυρὸς καὶ γῆς τοῦ αὐτοῦ σώματος. εἴρηται δὲ καὶ ἐν τοῖς περὶ φύσεως * περὶ αὐτῶν, καὶ περὶ τῆς τῶν κινουμένων αἰτίας, πότερον ἓν ἢ δύο θετέον· ὃ οὔτε ὀρθῶς * οὔτε ἀλόγως οἰητέον εἰρῆσθαι παντελῶς. ὅλως τε ἀλ-
D λοίωσιν ἀναιρεῖσθαι ἀνάγκη τοῖς οὕτω λέγουσιν. οὐ γὰρ ἐκ θερμοῦ ψυχρόν, οὐδὲ ἐκ ψυχροῦ θερμὸν ἔσται. τί γὰρ αὐτὰ ἂν πάσχοι τἀναντία, καὶ τίς εἴη ἂν μία φύσις ἡ γινομένη πῦρ, καὶ ὕδωρ, ὃ ἐκεῖνος οὔ φησιν. Ἀναξαγόραν δ' εἴ τις ὑπολάβοι δύο λέγειν στοιχεῖα, μάλιστ' ἂν ὑπολάβοι κατὰ λόγον, ὃν ἐκεῖνος αὐτὸς μὲν οὐ διήρθρωκεν, ἠκολούθησε μέντ' ἂν ἐξ ἀνάγκης τοῖς * λέγουσιν αὐτόν. ἀτόπου γὰρ ὄντος καὶ ἄλλως τοῦ φάσκειν μεμῖχθαι τὴν ἀρχὴν πάν-
B τα, καὶ διὰ τὸ συμβαίνειν ἄμικτα δεῖν προϋπάρχειν, καὶ διὰ τὸ μὴ πεφυκέναι τῷ τυχόντι μίγνυσθαι τὸ τυχόν. πρὸς δὲ τούτοις, ὅτι τὰ πάθη καὶ τὰ συμβεβηκότα χωρίζοιτ' ἂν τῶν οὐσιῶν, (τῶν γὰρ αὐτῶν μῖξίς ἐστι καὶ χωρισμός,) ὅμως εἴ τις ἀκολουθήσειε συνδιαρθρῶν ἃ βούλεται λέγειν, ἴσως ἂν φανείη καινοπρεπεστέρως λέγων. ὅτε γὰρ οὐθὲν ἦν ἀποκεκριμένον, δῆλον ὡς οὐδὲν ἦν ἀληθὲς εἰπεῖν κατὰ τῆς οὐσίας * ἐκείνης. λέγω δ' ὅτι οὔτε λευκόν, οὔτε μέλαν, ἢ φαιόν, ἢ ἄλλο χρῶ-

γρ. τ αὐτῶν ἢ τ τ. κ. αἰ. π. ἓν ἢ δ. θετέον. οὔτε ὀρ. & ita quidā interp.

γρ. οὔτ' ἀλόγως. & ita non pauci interpr.

χ. ἐπιγονοῖ

vulg. ἐκείνοις.

μα, ἀλλ' ἀχρώματον ἦν ἐξ ἀνάγκης. εἶχε γὰρ ἄν τι τούτων τῶν χρωμάτων. ὁμοίως δὲ καὶ * ἄχυμον τῷ αὐτῷ λόγῳ τούτῳ. οὐδὲ ἄλλο τῶν ὁμοίων οὐθέν. οὔτε γὰρ ποιόν τι οἷόν τε αὐτὸ εἶναι, οὔτε ποσὸν, οὔτε τί. τῶν γὰρ ἐν μέρει τι λεγομένων εἰδῶν ὑπῆρχεν ἂν αὐτῷ. τοῦτο δὲ ἀδύνατον μεμιγμένων γε πάντων· ἤδη γὰρ ἂν ἀπεκέκριτο. φησὶ δ' εἶναι μεμιγμένα πάντα, πλὴν τοῦ νοῦ. τοῦτον δ' ἀμιγῆ μόνον καὶ καθαρόν. ἐκ δὴ τούτων συμβαίνει λέγειν αὐτῷ τὰς ἀρχὰς, τό, τε ἓν (τοῦτο γὰρ ἁπλοῦν καὶ ἀμιγὲς) καὶ θάτερον καθάπερ ὄν, οἷον τίθεμεν τὸ ἀόριστον πρὶν ὁρισθῆναι καὶ μετασχεῖν εἴδους τινός. ὥστε λέγεται μὲν οὔτε ὀρθῶς, οὔτε σαφῶς· βούλεται μέντοι τι παραπλήσιον τοῖς τε ὕστερον λέγουσι καὶ τοῖς νῦν φαινομένοις μᾶλλον. ἀλλὰ γὰρ οὗτοι μὲν τοῖς περὶ γένεσιν λόγοις, καὶ φθορὰν καὶ κίνησιν, οἰκεῖοι τυγχάνουσι μόνον. σχεδὸν γὰρ περί τε τῆς τοιαύτης οὐσίας, καὶ τὰς ἀρχὰς, καὶ τὰς αἰτίας ζητοῦσι μόνον. ὅσοι δὲ περὶ μὲν ἁπάντων τῶν ὄντων ποιοῦσι τὴν θεωρίαν, τῶν δ' ὄντων τὰ μὲν αἰσθητὰ, τὰ δ' οὐκ αἰσθητὰ τιθέασι, δῆλον ὡς περὶ ἀμφοτέρων τῶν γενῶν ποιοῦνται τὴν ἐπίσκεψιν. διὸ μᾶλλον ἄν τις ἐνδιατρίψειε περὶ αὐτῶν, τί καλῶς ἢ μὴ καλῶς λέγουσιν εἰς τὴν τῶν νῦν ἡμῖν προκειμένων σκέψιν. οἱ μὲν οὖν καλούμενοι Πυθαγόρειοι, ταῖς μὲν ἀρχαῖς καὶ τοῖς στοιχείοις ἐκτοπωτέρως χρῶνται τῶν φυσιολόγων. τὸ δ' αἴτιον, ὅτι παρέλαβον αὐτὰς οὐκ ἐξ αἰσθητῶν. τὰ γὰρ μαθηματικὰ τῶν ὄντων, ἄνευ κινήσεώς ἐστιν, ἔξω τῶν περὶ τὴν ἀστρολογίαν. διαλέγονται μέντοι καὶ πραγματεύονται περὶ φύσεως πάντα. γεννῶσί τε γὰρ τὸν οὐρανὸν καὶ περὶ τὰ τούτου μέρη, καὶ πάθη καὶ τὰ ἔργα, διατηροῦσι τὸ συμβαῖνον· καὶ τὰς ἀρχὰς, καὶ τὰ αἴτια εἰς ταῦτα καταναλίσκουσιν, ὡς ὁμολογοῦντες τοῖς ἄλλοις φυσιολόγοις, ὅτι τό γε ὂν τοῦτ' ἐστιν, ὅσον αἰσθητόν ἐστι, καὶ περιείληφεν ὁ καλούμενος οὐρανός. τὰς δ' αἰτίας καὶ τὰς ἀρχὰς, ὥσπερ εἴπομεν, ἱκανὰς (ὡς λέγουσι) καὶ ἐπαναβῆναι καὶ ἐπὶ τὰ ἀνωτέρω τῶν ὄντων, καὶ μᾶλλον ἢ τοῖς περὶ φύσεως λόγοις ἁρμοττούσας. ἐκ τίνος μέντοι τρόπου κίνησις ἔσται, πέρατος καὶ ἀπείρου μόνον ὑποκειμένων, καὶ περιττοῦ καὶ ἀρτίου, οὐθὲν λέγουσιν. ἢ πῶς δυνατὸν ἄνευ κινήσεως καὶ μεταβολῆς γένεσιν εἶναι καὶ φθορὰν, ἢ τὰ τῶν φερομένων ἔργα κατὰ τὸν οὐρανόν; ἔτι δὲ εἴτε δοίη τις αὐτοῖς ἐκ τούτων εἶναι μέγεθος, εἴτε δειχθείη τοῦτο, ὅμως τίνα τρόπον ἔσται τὰ μὲν κοῦφα, τὰ δὲ βάρος ἔχοντα τῶν σωμάτων; ἐξ ὧν γὰρ ὑποτίθενται καὶ λέγου-

Interpr. ἄχυμον, τῷ δ' αὐτῷ λ. & ita legendum.

γρ. καὶ ὅπ.

A sed quod colore vacans necessario esset. Alioqui namque aliquem horum colorum haberet. Similiter etiam sine sapore. Eadem ratione nec aliud quicquam similium. Nec enim quale quid possibile est illud esse, neque quantum, neque quid. Specierum enim, quæ in parte dicuntur, aliquæ ei sanè inessent. Hoc vero impossibile, si mista sint omnia. Essent enim iam separata. Ait autem omnia esse mista, intellectu excepto: hunc verò solum, impermistum, & purum. Ex his verò accidit principia dicere,
B & ipsum vnum, (hoc enim simplex, & impermistum,) & alterum tanquam ens, quare indeterminatum ponimus antequam determinetur, & aliqua participet specie. Quare dicitur quidem, neque rectè, neque clarè: vult autem simile quiddam & iis quæ posteriùs dicunt, & iis quæ nunc magis apparent. Verum hæ quidem illarum, quæ circa generationem & corruptionem, & motum, sunt rationum, propriæ sunt solùm. Ferè enim de tali substantia, & principia & causas inuestigant solùm. Quicunque verò de cunctis qui-
C dem entibus speculantur, entium autem quædam sensibilia, quædam non sensibilia ponunt, manifestum est, quòd de vtrisque generibus perscrutantur. Quare magis immoretur quispiam, de iis quid bene quidve non bene dicant, ad eorum quæ nobis proposita sunt, inquisitionem. Qui itaque Pythagorici appellantur, principiis quidem & elementis alieniori modo, quàm physiologi, vtuntur. Causa verò est, quoniam ea non ex sensibilibus acceperunt. Entium enim quæ mathematica sunt, sine motu sunt, præter illa quæ circa astrolo-
D giam sunt. Disputant tamen, & tractant omnia de natura. Etenim generant cælum: & circa eius passiones, partes, & opera, obseruant quod sequitur, & principia, & causas in eis consumunt, tanquam cæteris physicis conuenientes, quòd illud est ens, [ quodque est, ] quodcunque sensibile est, & quod continet id quod vocatur cælum. Causas verò, & principia, sicut diximus, sufficientia, (vt dicunt,) etiam vsque ad supe-
E riora entium transcendere, & magis quàm de natura, rationibus conuenientia. Ex quo verò modo motus erit, finito & infinito, & pari & impari solùm suppositis, nihil aiunt. Aut quomodo possibile est, sine motu & mutatione generationem & corruptionem esse, aut actiones eorum quæ in cælo feruntur? Item siue quis eis concedat ex his magnitudinem esse, siue monstretur hoc, quomodo tamen quædam corporum leuia, quædam grauitatem habentia erunt? è quibus

A è quibus enim ſupponunt, & aiunt, nil magis quàm de mathematicis corporibus aut de ſenſibilibus dicunt. Quare de igne, aut terra, aut de huiuſmodi cæteris corporibus nihil dixerunt, tanquam nil de ſenſibilibus proprium dicentes. Item, quomodo paſſiones quidem numeri, & ipſum numerum, putandum cauſas eorum eſſe, quæ ſunt à principio, ac de nouo in cælo fiunt, numerum verò alium præter hunc numerum, ex quo mundus conſtat, nullum eſſe? B Cùm enim in hac quidem parte opinio eis, & tempus ſit, paululum verò deſurſum & deorſum iniuria, & diſiunctio, aut miſtio, probationem autem afferant, quòd horum quidem vnumquodque numerus eſt, contingit autem in hunc locum multitudinem iam conſtitutarum magnitudinum eſſe, eo quòd paſſiones ſequuntur ſingula loca: vtrùm iſte eſt idem numerus, qui in cœlo, quem oportet accipere, quòd horum vnumquodque eſt? an præter iſtum, alter? Plato etenim alium eſſe ait. At ille quoque numeros putat, & illa eſſe, & C horum cauſas: ſed intelligibiles quidem cauſas, hos verò ſenſibiles. De Pythagoricis itaque, prætermittamus modò: ſufficit enim in tantum eos attigiſſe. Qui verò ponunt ideas, primùm quidem, cùm quærerent horum exiſtentium cauſas habere, cætera æqualia his numero attulerunt. Velut ſi quis numerare volens, cùm quidem pauciora exiſtant, arbitretur non poſſe, plura verò ea faciat, & ita numeret. Ferè etenim ſpecies æquales, aut non pauciores iis ſunt, D ex quibus, dum de eis cauſas quærerent, ad illas proceſſerunt. Nam ſecundùm vnumquodque æquiuocum quid eſt, & præter ſubſtantias, cæterorum quoque in multis eſt vnum, & in his, & in ſempiternis. Item, quibus modis oſtenditur, quòd ſpecies ſunt, ſecundùm nullum eorum apparet. E quibuſdam namque non eſt neceſſe fieri ſyllogiſmum: è quibuſdam verò, etiam quorum non putamus, horum ſpecies fiunt. Secundum namque rationes, quæ ex ſcientiis, ſpecies E erunt omnium, quorum ſcientiæ ſunt: ſecundum verò vnum in multis, & negationum. At ſecundum quod intelligitur quippiam, eo corrupto, etiam corruptibilium: ſi quidem quicquam eſt horum phantaſma. Inſuper rationum quæ magis certæ ſunt, quædam quidem eorum quæ ad aliquid ſunt, ideas faciunt, quorum non dicimus eſſe per ſe genus: quædam verò, tertium hominem dicunt. Et ſimpliciter hæ de ſpeciebus rationes illa perimunt, quæ magis eſſe quàm ipſas ideas eſſe, volunt qui dicunt ſpecies.



A ἐξ ὧν γὰρ ὑποτίθενται καὶ λέγουσιν, * οὐθὲν μᾶλλον περὶ τῶν μαθηματικῶν λέγουσι σωμάτων, ἢ περὶ τῶν αἰσθητῶν. διὸ περὶ πυρὸς ἢ γῆς, ἢ τῶν ἄλλων τῶν τοιούτων σωμάτων, οὐδ' ὁτιοῦν εἰρήκασιν, ἅτε οὐθὲν περὶ τῶν αἰσθητῶν οἶμαι λέγοντες ἴδιον. ἔτι δὲ πῶς δεῖ λαβεῖν, αἴτια μὲν εἶναι τὰ τοῦ ἀριθμοῦ πάθη, καὶ τὸν ἀριθμὸν, τῶν κατὰ τὸν οὐρανὸν ὄντων καὶ γιγνομένων, καὶ ἐξ ἀρχῆς καὶ νῦν, ἀριθμὸν δὲ ἄλλον μηδένα B εἶναι παρὰ τὸν ἀριθμὸν τοῦτον ἐξ οὗ συνέστηκεν ὁ κόσμος; ὅταν γὰρ ἐν τῳδὶ μὲν τῷ μέρει δόξα καὶ καιρὸς αὐτοῖς ᾖ, μικρὸν δὲ ἄνωθεν ἢ κάτωθεν * ἀδικία, καὶ διάκρισις ἢ μίξις, * ἀπόδειξιν δὲ λέγωσιν, ὅτι τούτων μὲν ἓν ἕκαστον ἀριθμός ἐστι, συμβαίνει δὲ κατὰ τὸν * τόπον τοῦτον ἤδη πλῆθος εἶναι τῶν συνισταμένων μεγεθῶν, διὰ τὸ τὰ πάθη ταῦτα ἀκολουθεῖν τοῖς τόποις ἑκάστοις· πότερον οὗτος ὁ αὐτός ἐστιν ἀριθμὸς ὁ ἐν τῷ οὐρανῷ, ὃν δεῖ λαβεῖν, ὅτι τούτων ἕκαστόν ἐστιν, ἢ παρὰ τοῦτον ἄλλος; ὁ C μὲν γὰρ Πλάτων, ἕτερον εἶναί φησι· καίτοι κἀκεῖνος ἀριθμοὺς οἴεται καὶ ταῦτα εἶναι καὶ τὰς τούτων αἰτίας, ἀλλὰ τοὺς μὲν νοητοὺς αἰτίους, τούτους δὲ αἰσθητούς. περὶ μὲν οὖν τῶν Πυθαγορείων ἀφείσθω τὰ νῦν· ἱκανὸν γὰρ αὐτῶν ἅψασθαι τοσοῦτον. οἱ δὲ τὰς ἰδέας * αἰτίας τιθέμενοι, πρῶτον μὲν ζητοῦντες τωνδὶ τῶν ὄντων λαβεῖν τὰς αἰτίας, ἕτερα τούτοις ἴσα τὸν ἀριθμὸν * ἐκόμισαν· ὥσπερ εἴ τις ἀριθμῆσαι βουλόμενος, ἐλαττόνων μὲν ὄντων, οἴοιτο μὴ δυνήσε- D σθαι, πλείω δὲ ποιήσας ἀριθμοίη. σχεδὸν γὰρ ἴσα ἢ οὐκ ἐλάττω τὰ εἴδη ἐστὶ τούτων, περὶ ὧν ζητοῦντες τὰς αἰτίας, ἐκ τούτων ἐπ' ἐκεῖνα προῆλθον. καθ' ἕκαστον γὰρ ὁμώνυμόν τι ἐστι, καὶ παρὰ τὰς οὐσίας τῶν τε ἄλλων ἐστὶν ἓν ἐπὶ πολλῶν, καὶ ἐπὶ τοῖς δὲ καὶ ἐπὶ τοῖς ἀϊδίοις. ἔτι δὲ καὶ καθ' οὓς τρόπους δείκνυται ὅτι ἐστὶ τὰ εἴδη, κατ' οὐδένα φαίνεται τούτων. ἐξ ἐνίων μὲν γὰρ οὐκ ἀνάγκη γίγνεσθαι συλλογισμόν· ἐξ E ἐνίων δὲ καὶ οὐχ ὧν οἰόμεθα, τούτων εἴδη γίγνεται. κατά τε γὰρ τοὺς λόγους τοὺς ἐκ τῶν ἐπιστημῶν, εἴδη ἔσται πάντων ὅσων ἐπιστῆμαι εἰσί, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν, καὶ τῶν ἀποφάσεων. κατὰ δὲ τὸ νοεῖν τι * φθαρέντων, τῶν φθαρτῶν· φάντασμα γάρ τι τούτων ἐστίν. ἔτι δὲ οἱ ἀκριβέστατοι τῶν λόγων, οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν * οὔ φασιν εἶναι γένος καθ' αὑτό· οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγουσιν. ὅλως τε ἀναιροῦσιν οἱ περὶ τῶν εἰδῶν λόγοι, ἃ μᾶλλον εἶναι βούλονται οἱ λέγοντες εἴδη, τοῦ τὰς ἰδέας εἶναι.

Lege cũ interp. οὐθὲν μ. περὶ τ. αἰσθη. μαθηματ. λ. σ. vel, οὐθὲν μ. ἢ περὶ τ. μ. σωμ. λέγ. περὶ τ. αἰσθ. vt B.

vide Alex.

γρ. ἀπόδειξιν δὲ λέγωσιν, Interpp. ποιῶσι.

Inf. l. 13. c. 4. & 5. Qu. ἐνόμισαν. minùs rectè. ſic Nic. l. 1. de ideis εἰ κομίσαντες τὰς δόξας ταύτας. & alibi.

γ. φθαρέντος.

γ. τοῦ τι εἶν.

γ. οὐ φασιν

A συμβαίνει γὰρ μὴ εἶναι τὴν δυάδα πρώτην, ἀλλὰ τὸν ἀριθμόν, καὶ τὸ πρός τι, τοῦ καθ' αὑτό, καὶ πάνθ' ὅσα τινὲς ἀκολουθήσαντες ταῖς περὶ τῶν εἰδῶν δόξαις, ἠναντιώθησαν ταῖς ἀρχαῖς. ἔτι δὲ κατὰ μὲν τὴν ὑπόληψιν καθ' ἣν εἶναί φαμεν τὰς ἰδέας, οὐ μόνον τῶν οὐσιῶν ἔσται εἴδη, ἀλλὰ πολλῶν καὶ ἑτέρων. καὶ γὰρ τὸ νόημα ἓν, οὐ μόνον περὶ τὰς οὐσίας, ἀλλὰ καὶ κατὰ τῶν ἄλλων ·. οὐσιῶν ἐστί· καὶ ἐπιστήμη οὐ μόνον τῆς οὐσίας εἰσίν, ἀλλὰ καὶ ἑτέρων· καὶ ἄλλα δὲ μυρία συμβαίνει τοιαῦτα. κατὰ δὲ τὸ ἀναγκαῖον καὶ τὰς δόξας τὰς περὶ αὐτῶν, εἰ ἔστι μεθεκτὰ εἴδη, B τῶν οὐσιῶν ἀναγκαῖον ἰδέας εἶναι μόνον. οὐ γὰρ κατὰ συμβεβηκὸς μετέχονται, ἀλλὰ δεῖ ταύτῃ ἑκάστου μετέχειν, ᾗ μὴ καθ' ὑποκειμένου λέγονται. λέγω δ' οἷον, εἴ τι αὐτοῦ τοῦ διπλασίου μετέχει, τοῦτο καὶ ἀϊδίου μετέχει, ἀλλὰ κατὰ συμβεβηκός. συμβέβηκε γὰρ τῷ διπλασίῳ ἀϊδίῳ εἶναι. ὥστ' ἔσται οὐσία τὰ εἴδη. C ταῦτα δ' ἐνταῦθα οὐσίαν σημαίνει κἀκεῖ· ἢ τί ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα, τὸ ἓν ἐπὶ πολλῶν· καὶ εἰ μὲν ταὐτὸ εἶδος τῶν ἰδεῶν καὶ τῶν μετεχόντων, ἔσται τι κοινόν. οὐ τί γὰρ μᾶλλον ἐπὶ τῶν φθαρτῶν δυάδων, καὶ δυάδων τῶν πολλῶν μὲν, ἀϊδίων δέ, τὸ δυὰς εἶναι ἓν καὶ ταὐτόν, ἢ ἐπὶ ταύτης καὶ τῆς τινός. εἰ δὲ μὴ τὸ αὐτὸ εἶδος, * ὁμώνυμα ἂν εἴη, καὶ ὅμοιον, ὥσπερ ἂν εἴ τις καλοίη ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον, μηδεμίαν κοινωνίαν ἐπιβλέψας αὐτῶν. πάντων δὲ μάλιστα διαπορήσειεν ἄν τις, τί ποτε συμβάλλεται τὰ εἴδη τοῖς ἀϊδίοις τῶν αἰσθητῶν, ἢ τοῖς D γιγνομένοις καὶ τοῖς φθειρομένοις. οὔτε γὰρ κινήσεως, οὔτε μεταβολῆς οὐδεμιᾶς ἐστιν αἴτια αὐτοῖς. ἀλλὰ μὴν οὔτε πρὸς τὴν ἐπιστήμην οὐδὲν βοηθεῖ τὴν τῶν ἄλλων, (οὐδὲ γὰρ οὐσία ἐκεῖνα τούτων· ἐν τούτοις γὰρ ἂν ἦν·) οὔτε εἰς τὸ εἶναι, μὴ ἐνυπάρχοντά γε τοῖς μετέχουσιν. οὕτω μὲν γὰρ ἂν ἴσως αἴτια δόξειεν εἶναι, ὡς τὸ λευκὸν μεμιγμένον τῷ λευκῷ. ἀλλ' οὗτος μὲν ὁ λόγος λίαν εὐκίνητος, ὃν Ἀναξαγόρας μὲν πρῶτος, E Εὔδοξος δὲ ὕστερον, καὶ ἄλλοι τινὲς ἔλεγον· ῥᾴδιον γὰρ συναγαγεῖν πολλὰ καὶ ἀδύνατα πρὸς τὴν τοιαύτην δόξαν. ἀλλὰ μὴν οὐδὲ ἐκ τῶν εἰδῶν ἐστὶ τἆλλα κατ' οὐδένα τρόπον * τῶν εἰωθότων λέγεσθαι. τὸ δὲ λέγειν παραδείγματα αὐτὰ εἶναι, καὶ μετέχειν αὐτῶν τἆλλα, κενολογεῖν ἐστὶ καὶ μεταφορὰς λέγειν ποιητικάς. τί γάρ ἐστι τὸ ἐργαζόμενον πρὸς τὰς ἰδέας ἀποβλέπον; ἐνδέχεταί γε καὶ εἶναι καὶ γίγνεσθαι ὅμοιον ὁτιοῦν, καὶ μὴ εἰκαζόμενον πρὸς ἐκεῖνο·

γρ. ὁμωνυμία

Inf. l. 5. cap. 24.

Accidit enim non dualitatem esse primam, sed numerum, & quod ad aliquid, eo quod per se est: & cuncta, quæcunque cùm quidam sequerentur de ideis opiniones, aduersati principiis sunt. Item secundùm existimationem, secundùm quam esse dicimus ideas, non solùm substantiarum, sed multorum etiam aliorum species erunt. Etenim vnus conceptus non solùm de substantiis, sed de cæteris etiam est: & scientiæ non solùm substantiæ, sed etiam aliorum sunt: & cætera huiuscemodi accidunt infinita. Secundùm verò necessitatem, & opiniones de eis, si species participabiles sunt, necesse est substantiarum solùm esse ideas. Non enim secundùm accidens participatio earum est, sed eatenus oportet vniuscuiusque participem esse, quatenus dicitur non de subiecto. Dico autem, vt si quid ipso duplo participat, hoc etiam æterno participat, sed secundùm accidens: accidit enim duplo ęterno esse. Quare species, substantia erunt. Hæ autem hic & ibi substantiam significant. An quicquam erit dicere esse aliquid prǽter has, vnum in multis? Et si eadem species est idearum, & participantium, erit aliquid commune. Cur enim magis in corruptibilibus dualitatibus, & pluribus quidem, sed æternis, dualitatem esse vnum & idem sit, quàm in hac & quadam? Et si non est eadem species, æquiuocatio erit profectò, & simile, ac si quis & Calliam, & lignum hominem appellarit, quorum nullam inspicit communicationem. Potissimùm verò dubitabit aliquis, quidnam species conferant sempiternis sensibilium, aut illis quæ fiunt, & corrumpuntur. Nec enim motus, nec alicuius transmutationis eius causæ sunt. At nec ad scientiam aliorum prosunt. Nec enim horum illæ substantia sunt: in his etenim essent. Nec ad esse, cùm non insint participantibus. Ita etenim fortassis causæ putabuntur esse, vt album mistum albo. Sed ista ratio facilè redargui potest, quam Anaxagoras priùs, Eudoxus verò posteriùs, & quidam alii dixerunt. Facile enim est, multa & impossibilia ad hanc opinionem congerere. At nec ex speciebus cætera sunt, secundùm vllum illorum modorum qui dici solent. Dicere verò exemplaria eas esse, & cæte- [illegible], vaniloquia & metaphoras poëticas dicere est. Quid enim est, quod agit, ad ideas inspiciens? Possibile enim est & esse, & fieri quodcunque simile, etiam non ad illius imaginem.

Quare & existente Socrate, & non existente, fiet vtique qualis Socrates est, similiter autem etiam si Socrates sempiternus esset. At eiusdem erunt plura exemplaria: ergo etiam species: veluti hominis, animal, & bipes, simul autem & idealis homo. Item non solùm sensibilium exemplaria species erunt; verùm etiam ipsarum, (vtputa genus, tanquam genus,) specierum. Quare idem erit exemplar, & imago. Item, videri possit impossibile esse separatam substantiam, & cuius est substantia. Quare quomodo ideæ, cùm rerum substantiæ sint, separatæ fuerint? In Phædone ita dicitur, quòd tum ipsius esse tum ipsius fieri species causæ sunt: quanquam speciebus existentibus, non tamen participantia fiunt, si non sit, quod moueat. At multa alia fiunt velut domus, aut annulus, quorum non dicimus esse species. Quare patet posse contingere cætera quoque & esse, & fieri, etiam propter tales causas, quales eorum quæ nunc dicta sunt. Item, si species numeri sunt, quomodo erunt causæ? vtrùm quoniam ipsa entia, sunt diuersi numeri? vtputa hic quidem numerus homo, hic verò Socrates, hic autem Callias? Cur igitur illi his causæ sunt? Etenim si hi quidem æterni, hi verò non, nihil differt. Quòd si quoniam proportiones numerorum hæc, aut consonantia, patet, quòd vnum quiddam erit, quorum proportiones sunt. Si igitur hoc materia est, manifestum est, quòd ipsi etiam numeri proportiones cuiusquam alterius ad alterum erunt. Dico autem, vt si Callias proportio est, in numeris ignis, terræ, aquæ, & aëris, & ipse homo aliquorum aliorum subiectorum erit: & idea numerus, ac etiam ipse idealis homo, siue aliquis numerus sit, siue non, erit tamen proportio in numeris aliquorum, & non numerus: & propterea nullus erit numerus. Item, è multis numeris, vnus numerus fit: ex speciebus verò, quomodo species vna? quòd si nec ex his, sed ex numerabilibus, vt ex decem millibus, quomodo se habent vnitates? Siue enim eiusdem speciei sunt, multa inconuenientia sequentur: siue non eiusdem speciei, nec eædem inuicem, nec cæteræ omnes omnibus, in quo differunt, cùm impassibiles sint? Hæc enim nec rationabilia sunt, nec intellectioni consentanea. Item necesse est aliud quiddam numeri genus ponere, circa quod arithmetica, & omnia quæ media dicuntur à quibusdam: quæ quomodo, aut ex quibus principiis sunt, aut cur ista sunt, quæ media illorum & horum erunt? Item, vnitates, quæ in dualitate sunt, vtraque ex aliqua priore dualitate. At hoc impossibile est. Item, cur vnum est, numerus collectus?

A ὥστε καὶ ὄντος Σωκράτους καὶ μὴ ὄντος, γένοιτ' ἂν οἷος περ Σωκράτης. ὁμοίως δὲ δῆλον, ὅτι κἂν εἰ ἦν ὁ Σωκράτης ἀΐδιος, ἔσται τε πλείω παραδείγματα τοῦ αὐτοῦ· ὥστε καὶ εἴδη· οἷον, τοῦ ἀνθρώπου, τὸ ζῶον, τὸ δίπουν, ἅμα δὲ καὶ τὸ * αὐτὸ ἄνθρωπος. ἔτι οὐ μόνον τῶν αἰσθητῶν παραδείγματα τὰ εἴδη, ἀλλὰ καὶ αὐτῶν, οἷον τὸ γένος, εἰδῶν· ὥστε τὸ αὐτὸ ἔσται παράδειγμα καὶ εἰκών. ἔτι δόξειεν ἂν ἀδύνατον εἶναι χωρὶς τὴν οὐσίαν, καὶ οὗ ἡ οὐσία. ὥστε πῶς ἂν αἱ ἰδέαι οὐσίαι
B τῶν πραγμάτων οὖσαι, χωρὶς εἶεν; ἐν δὲ τῷ Φαίδωνι οὕτω λέγεται, ὡς καὶ τοῦ εἶναι καὶ τοῦ γίγνεσθαι αἴτια τὰ εἴδη ἐστί. καίτοι τῶν εἰδῶν ὄντων, ὅμως οὐ γίγνεται τὰ μετέχοντα, ἂν μὴ ᾖ τὸ κινῆσον· καὶ πολλὰ γίγνεται ἕτερα, οἷον οἰκία, καὶ δακτύλιος, ὧν οὔ φαμεν εἴδη εἶναι. ὥστε δῆλον ὅτι ἐνδέχεται καὶ τἄλλα καὶ εἶναι καὶ γίγνεσθαι, καὶ διὰ τοιαύτας αἰτίας, οἵας καὶ τὰ ῥηθέντα νῦν. ἔτι εἴπερ εἰσὶν ἀριθμοὶ τὰ εἴδη, πῶς αἴτιοι ἔσονται; πότερον ὅτι ἀριθμοί εἰσι τὰ ὄντα; οἷον, ὁ μὲν ἀριθμὸς ἄνθρω-
C πος ἀριθμὸς, ὁ δὲ Σωκράτης, ὁ δὲ Καλλίας. τί οὖν ἐκεῖνοι τούτοις αἴτιοί εἰσιν; οὐδὲ γὰρ εἰ οἱ μὲν ἀΐδιοι, οἱ δὲ μὴ, οὐδὲν διοίσει. εἰ δὲ ὅτι λόγοι ἀριθμῶν τὰ ἐνταῦθα, οἷον ἡ συμφωνία, δῆλον ὅτι ἔσται ἕν γέ τι ὧν εἰσι λόγοι. εἰ δή τι τοῦθ' ἡ ὕλη, φανερὸν ὅτι καὶ αὐτοὶ οἱ ἀριθμοὶ λόγοι τινὲς ἔσονται ἑτέρου πρὸς ἕτερον. λέγω δὲ, οἷον, εἰ ἔστιν ὁ Καλλίας λόγος ἐν ἀριθμοῖς πυρὸς καὶ γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ ὁ αὐτὸς ἄνθρωπος, ἄλλων τινῶν ὑποκειμένων ἔσται·
D καὶ ἡ ἰδέα ἀριθμὸς καὶ * αὐτὸ ἄνθρωπος, εἴτε ἀριθμός τις ὢν, εἴτε μὴ, ὅμως ἔσται λόγος ἐν ἀριθμοῖς τινῶν, καὶ οὐκ ἀριθμός· καὶ οὐκ ἔσται τις διὰ ταῦτα ὁ ἀριθμός. ἔτι ἐκ πολλῶν ἀριθμῶν εἷς ἀριθμὸς γίνεται, ἐξ εἰδῶν δὲ ἓν εἶδος πῶς; εἰ δὲ μηδ' ἐξ αὐτῶν, ἀλλ' ἐκ τῶν ἐναρίθμων, οἷον ἐν τῇ μυριάδι, πῶς ἔχουσιν αἱ μονάδες; εἴτε γὰρ ὁμοειδεῖς, πολλὰ συμβήσεται ἄτοπα· εἴτε μὴ ὁμοει-
E δεῖς, μήτε αἱ αὐταὶ ἀλλήλαις, μήτε αἱ ἄλλαι πᾶσαι πάσαις. τίνι γὰρ διοίσουσιν ἀπαθεῖς οὖσαι; οὔτε γὰρ εὔλογα ταῦτα, οὔτε ὁμολογούμενα τῇ νοήσει. ἔτι δ' ἀναγκαῖον ἕτερόν τι γένος ἀριθμοῦ κατασκευάζειν, περὶ ὃ ἡ ἀριθμητικὴ, καὶ πάντα τὰ μεταξὺ λεγόμενα ὑπό τινων, ἃ πῶς, ἢ ἐκ τίνων ἐστὶν ἀρχῶν; ἢ διὰ τί ἔσται μεταξὺ τῶν δεῦρό τ' ἔσται καὶ αὐτῶν; ἔτι αἱ μονάδες αἱ ἐν τῇ δυάδι ἑκατέρα ἔκ τινος προτέρας δυάδος· καίτοι ἀδύνατον. ἔτι διὰ τί ἓν ὁ ἀριθμὸς συλλαμβανόμενος;

γρ. αὐτοάνθρωπος

γρ. αὐτοάνθρωπος

A ἔτι δὲ πρὸς τοῖς εἰρημένοις, εἴπερ εἰσὶν αἱ μονάδες διάφοροι, ἐχρῆν οὕτω λέγειν, ὥσπερ καὶ ὅσοι τὰ στοιχεῖα τέτταρα ἢ δύο λέγουσιν. καὶ γὰρ τούτων ἕκαστος, οὐ τὸ κοινὸν λέγει στοιχεῖον, οἷον τὸ σῶμα, ἀλλὰ πῦρ καὶ γῆν, εἴτ' ἔστι τι κοινὸν τὸ σῶμα, εἴτε μή. νῦν δὲ λέγεται ὡς ὄντος τοῦ ἑνός, ὥσπερ πυρὸς ἢ ὕδατος, ὁμοιομεροῦς. εἰ δ' οὕτως, οὐκ ἔσονται οὐσίαι οἱ ἀριθμοί· ἀλλὰ δῆλον, *ὅτι εἰπεῖν ἐστί τι ἓν αὐτό, καὶ τοῦτό ἐστιν ἀρχή, πλεοναχῶς λέγεται τὸ ἕν· B ἄλλως γὰρ ἀδύνατον. βουλόμενοι δὲ τὰς οὐσίας ἀνάγειν εἰς τὰς ἀρχάς, μήκη μὲν *τίθενται ἐκ μακροῦ καὶ βραχέος, ἔκ τινος μικροῦ καὶ μεγάλου· καὶ ἐπίπεδον ἐκ πλατέος καὶ στενοῦ. σῶμα δ' ἐκ βαθέος καὶ ταπεινοῦ. καίτοι πῶς ἕξει, ἢ τὸ ἐπίπεδον γραμμήν, ἢ τὸ στερεὸν γραμμὴν καὶ ἐπίπεδον; ἄλλο γὰρ γένος τὸ πλατὺ καὶ τὸ στενόν, καὶ βαθὺ καὶ ταπεινόν. ὥσπερ οὖν οὐδ' ἀριθμὸς ὑπάρχει ἐν αὐτοῖς, C ὅτι τὸ πολὺ καὶ τὸ ὀλίγον ἕτερον τούτων, δῆλον ὅτι οὐδ' ἄλλο οὐθὲν τῶν ἄνω ὑπάρξει τοῖς κάτω. ἀλλὰ μὴν οὐδὲ γένος τὸ πλατὺ τοῦ βαθέος. ἦν γὰρ ἂν ἐπίπεδόν τι, τὸ σῶμα. ἔτι αἱ στιγμαὶ ἐκ τίνος ἐνυπάρχουσι; τούτῳ μὲν οὖν τῷ γένει καὶ διεμάχετο Πλάτων ὡς ὄντι γεωμετρικῷ δόγματι· ἀλλ' ἐκάλει ἀρχὴν γραμμῆς· τοῦτο δὲ πολλάκις ἐτίθει τὰς ἀτόμους γραμμάς· καίτοι ἀνάγκη τούτων εἶναί τι πέρας. ὥστε ἐξ οὗ λόγου γραμμή ἐστι, D καὶ στιγμή ἐστιν. ὅλως δὲ ζητούσης τῆς σοφίας περὶ τῶν φανερῶν τὸ αἴτιον, τοῦτο μὲν εἰάκαμεν· οὐθὲν γὰρ λέγομεν περὶ τῆς αἰτίας, ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς· τὴν δ' οὐσίαν οἰόμενοι λέγειν αὐτῶν, ἑτέρας οὐσίας εἶναί φαμεν.

ὅπως δ' ἐκεῖναι τούτων οὐσίαι, διὰ κενῆς λέγομεν· τὸ γὰρ μετέχειν, ὥσπερ καὶ τὸ πρότερον εἴπομεν, οὐθέν ἐστιν. οὐδὲ δὴ ὅπερ ταῖς ἐπιστήμαις ὁρῶμεν ὂν αἴτιον. δι' ὃ καὶ πᾶς νοῦς, καὶ πᾶσα φύσις ποιεῖ. οὐδὲ ταύτης τῆς αἰτίας ἥν φαμεν εἶναι μίαν τῶν ἀρχῶν, οὐδὲν ἅπτεται E τὰ εἴδη. ἀλλὰ γέγονε τὰ μαθήματα τοῖς νῦν ἡ φιλοσοφία, φασκόντων ἄλλων χάριν αὐτὰ δεῖν πραγματεύεσθαι. ἔτι δὲ τὴν ὑποκειμένην οὐσίαν, ὡς ὕλην, μαθηματικωτέραν ἄν τις ὑπολάβοι, καὶ μᾶλλον κατηγορεῖσθαι, καὶ διαφορὰν εἶναι τῆς οὐσίας καὶ τῆς ὕλης, οἷον τὸ μέγα καὶ τὸ μικρόν· ὥσπερ καὶ οἱ φυσιολόγοι φασί, καὶ μανὸν καὶ τὸ πυκνόν, πρώτας τοῦ ὑποκειμένου φάσκοντες εἶναι διαφορὰς ταύτας. ταῦτα γάρ ἐστιν ὑπεροχή τις καὶ ἔλλειψις.

Vulg. ὅτι εἰπεῖν ἐστί τι Mendosè. Quidam interp. leg. vid. εἴπερ εἰπεῖν ἔστι τι γρ. τίθεμεν

Item, ad hæc, quæ dicta sunt, si vnitates differentes sunt, oportet ita dicere, sicut quicumque quatuor aut duo dicunt elementa. Etenim horum singuli non dicunt elementum, quod commune est, vtputa corpus, sed ignem, & terram, siue commune quid sit corpus, siue non: nunc autem dicitur, ac si vnum ita esset, (vt ignis, aut aqua,) similium partium. Quod si ita sit, numeri non erunt substantiæ. Sed si ipsum vnum aliquid est, & hoc principium est, patet quòd vnum multipliciter dicitur. Aliter namque impossibile est. Volentes autem substantiam referre ad principia, longitudines quidem ex longo & breui, ponunt ex quodam paruo & magno: planum verò, ex lato & stricto: corpus autem, ex alto & humili. At quomodo aut planum habebit lineam, aut solidum lineam & planum? Aliud namque genus, latum & strictum, altum & humile. Quemadmodum igitur neque numerus est in eis, eo quòd multum & paucum ab his aliud est, ita manifestum est quòd nec aliud quicquam superiorum inferioribus inerit. At verò nec latum, genus alti est. Etenim corpus esset planum quid. Item puncta, ex quo insunt: at horum generi aduersabatur Plato tanquam existenti dogmati geometrico: sed nominabat principium lineæ, hoc verò sæpius ponebat lineas indiuisibiles. Atqui necesse est, harum aliquem esse terminum. Quare ex qua ratione linea est, punctum quoque est. Et simpliciter cùm sapientiæ sit, de manifestis causam quærere, hanc quidem prætermisimus: nihil enim de causa dicimus, vnde principium transmutationis: substantiam verò eorum dicere putantes, alias substantias esse dicimus. Quomodo verò illæ horum substantiæ, incassum dicimus. participare namque, (vt priùs diximus,) nihil est. Nec illam etiam quam scientiis esse causam videmus: propter quas omnis intellectus & omnis natura facit: nec vllam causam quam vnam de principiis esse dicimus, ipsæ species attingunt. Sed qui hac ætate sunt, iis mathemata facta sunt philosophia, quamuis dicant aliorum gratia ea oportere tractare. Item, subiectam substantiam, vt materiam magis mathematicam, quis profectò putauerit, ac magis prædicari, & differentiam substantiæ ac materiæ esse, veluti magnum & paruum, sicuti aiunt Physiologi rarum, & densum: primas subiecti dicentes has differentias esse. Hæc etenim excessus quidam & defectus sunt.

De motu autem, si hæc quidem motus erunt, patet quòd species mouebuntur. Quòd si non, vnde euenit? Tota etenim de Natura consideratio perit. Et quod facilè probare videtur, quòd omnia vnum non fit: expositione etenim non fiunt omnia vnum, sed ipsum vnum, si quis concedat omnia: nec hoc quidem, nisi quis vniuersale concedat esse genus. Hoc autem in quibusdam impossibile. Nullam autem rationem habent: nec illæ, quæ post numeros, longitudines, plana & solida sunt, nec quomodo sunt, aut futura sunt, nec si quam vim habent: hæc enim nec species possibile est esse: (non enim sunt numeri:) nec media: (mathematica enim illa sunt:) nec corruptibilia: sed rursus quartum aliud quoddam hoc genus apparet. Et simpliciter elementa quærere entium non diuidendo, cùm multipliciter dicantur, impossibile est inuenire: præsertim cùm hoc modo quærant, ex quibus elementis est. Ex quibus enim ipsum agere, aut ipsum rectum, non est accipere. quod si est, substantiarum solùm esse potest. Quare aut quærere, aut putare habere omnium existentium elementa, non est verum. Quomodo verò aliquis cunctorum elementa discet? Manifestum est enim, quòd non est possibile quicquam cum cognoscere priùs. Quemadmodum enim illum, qui geometriam discit, aliqua quidem præscire contingit, quorum verò illa scientia est, & quæ docendus est, nihil præscit, ita & in cæteris. Quare si qua cunctorum est scientia, (vt quidam aiunt,) nihil profectò is præcognoscere posset. Atqui omnis disciplina per præcognita aut omnia, aut aliqua est: & aut per demonstrationem, aut per definitiones. Ex quibus enim definitio est, illa præcognoscere oportet, ac nota esse. Similiter & quæ per inductionem. At si innata nobis est, mirum est quomodo nos fugit, optimam scientiarum habentes. Item quo pacto quis cognoscet, ex quibus est, & quomodo manifestum erit? etenim hoc habet ambiguitatem. Dubitabit enim quispiam, sicuti & de quibusdam syllabis: quidam enim syllabam sma, ex s & m, & a, aiunt esse: quidam verò alium sonum esse dicunt, & nullum ex notis. Item, quorum, sensus est, ea quomodo quis noscet sensum non habens? atqui oportet. Siquidem eadem cunctorum elementa sunt, ex quibus (sicuti compositæ voces) ex propriis sunt elementis. Quòd igitur illas, quæ in de Naturalibus dictæ sunt, causas cuncti quærere videantur, & præter illas nullam aliam dicere habeamus, ex illis quæ dicta sunt priùs, patet. Sed eas obscurè dixerunt.

A περὶ δὲ κινήσεως, εἰ μὲν ἔσται ταῦτα κίνησις, δῆλον ὅτι κινήσεται τὰ εἴδη· εἰ δὲ μή, πόθεν ἦλθεν; ὅλη γὰρ ἡ περὶ φύσεως ἀνῄρηται σκέψις, καὶ ὃ δοκεῖ ῥᾴδιον εἶναι, τὸ δεῖξαι ὅτι ἓν ἅπαντα οὐ γίγνεται· τῇ γὰρ ἐκθέσει οὐ γίγνεται πάντα ἕν, ἀλλ' αὐτό τι ἕν, ἂν διδῷ τις πάντα, καὶ οὐδὲ τοῦτο, ἐὰν μὴ γένος δῷ τὸ καθόλου εἶναι. τοῦτο δ' ἐν ἐνίοις ἀδύνατον. οὐδένα δ' ἔχει λόγον, οὐδὲ τὰ μετὰ τοὺς ἀριθμοὺς μήκη τε καὶ ἐπίπεδα,
B καὶ στερεά· οὔτε ὅπως ἐστὶν ἢ ἔσται, οὔτ' εἴ τινα ἔχει δύναμιν. ταῦτα γὰρ οὔτε εἴδη οἷόν τε εἶναι (οὐ γάρ εἰσιν ἀριθμοί) οὔτε τὰ μεταξύ (τὰ μαθηματικὰ γὰρ ἐκεῖνα) οὔτε τὰ φθαρτά· ἀλλὰ πάλιν τέταρτον ἄλλο φαίνεται τοῦτό τι γένος· ὅλως τε τὸ τῶν ὄντων ζητεῖν στοιχεῖα, μὴ διελόντας, πολλαχῶς λεγομένων, ἀδύνατον εὑρεῖν, ἄλλως τε καὶ τοῦτον τὸν τρόπον ζητοῦντας ἐξ οἵων ἐστὶ στοιχείων. ἐκ τίνων γὰρ τὸ ποιεῖν· ἢ πάσχειν,] ἢ τὸ εὐθύ, οὐκ ἔστι λαβεῖν, ἀλλ' εἴπερ ἐστί, τῶν οὐσιῶν μόνον ἐνδέχεται.
C ὥστε τὸ τῶν ὄντων ἁπάντων τὰ στοιχεῖα ἢ ζητεῖν, ἢ οἴεσθαι ἔχειν, οὐκ ἀληθές. πῶς δ' ἄν τις καὶ μάθοι τὰ τῶν πάντων στοιχεῖα; δῆλον γὰρ ὡς οὐθὲν οἷόν τε προϋπάρχειν γνωρίζοντα πρότερον. ὥσπερ γὰρ τῷ γεωμετρεῖν μανθάνοντι, ἄλλα μὲν ἐνδέχεται προειδέναι, ὧν δὲ ἡ ἐπιστήμη, καὶ περὶ ὧν μέλλει μανθάνειν, οὐθὲν προγινώσκει. οὕτω καὶ ἐπὶ τῶν ἄλλων. ὥστ' εἴ τις τῶν πάντων ἐστὶν ἐπιστήμη, ὥσπερ τινές φασιν, οὐθὲν ἂν
D προϋπάρχοι γνωρίζων οὗτος. καίτοι * πᾶσα μάθησις διὰ προγινωσκομένων ἢ πάντων, ἢ τινῶν ἐστί, καὶ ἡ δι' ἀποδείξεως, ἢ δι' ὁρισμῶν. δεῖ γὰρ ἐξ ὧν ὁ ὁρισμός, προειδέναι, καὶ εἶναι γνώριμα· ὁμοίως δὲ καὶ ἡ δι' ἐπαγωγῆς. ἀλλὰ μὴν καὶ εἰ τυγχάνει σύμφυτος οὖσα, θαυμαστὸν πῶς λανθάνομεν ἔχοντες τὴν κρατίστην τῶν ἐπιστημῶν. πῶς τις ἔτι γνωριεῖ ἐκ τίνων ἐστί, καὶ πῶς ἔσται δῆλον; καὶ γὰρ τοῦτ' ἔχει ἀπορίαν. ἀμφισβητή-
E σειε γὰρ ἄν τις, ὥσπερ καὶ περὶ ἐνίας συλλαβάς. οἱ μὲν γὰρ τὸ σμα ἐκ τοῦ σ καὶ μ καὶ α, φασὶν εἶναι· οἱ δέ τινες ἕτερον φθόγγον φασὶν εἶναι, καὶ οὐδένα τῶν γνωρίμων. ἔτι δὲ ὧν ἐστιν αἴσθησις, ταῦτα πῶς ἄν τις μὴ ἔχων τὴν αἴσθησιν γνοίη; καίτοι ἔδει, εἴγε πάντων ταὐτὰ στοιχεῖά ἐστιν ἐξ ὧν, ὥσπερ αἱ σύνθετοι φωναί εἰσιν ἐκ τῶν στοιχείων. ὅτι μὲν οὖν τὰς εἰρημένας ἐν τοῖς φυσικοῖς αἰτίας ζητεῖν ἐοίκασι πάντες, καὶ τούτων ἐκτὸς οὐδεμίαν ἔχοιμεν ἂν εἰπεῖν, δῆλον καὶ ἐκ τῶν πρότερον εἰρημένων· ἀλλ' ἀμυδρῶς ταύτας

Cap 1. l. 1. poster. Analyl.

A καὶ τρόπον μέν τινα ἅπασαι πρότερον εἴρηνται, τρόπον δέ τινα οὐδαμῶς. * ψελλιζομένῃ γὰρ ἔοικεν ἡ πρώτη φιλοσοφία περὶ πάντων, ἅτε νέα τε καὶ κατ' ἀρχὰς οὖσα, καὶ τὸ πρῶτον. ἐπεὶ καὶ Ἐμπεδοκλῆς ὀστοῦν τῷ λόγῳ φησὶν εἶναι. τοῦτο δ' ἐστὶ τὸ τί ἦν εἶναι, καὶ ἡ οὐσία τοῦ πράγματος. ἀλλὰ μὴν καὶ ὁμοίως ἀναγκαῖον* καὶ σάρκα, καὶ τῶν ἄλλων ἕκαστον εἶναι τὸν λόγον, ἢ μηδὲ ἕν. διὰ τοῦτο γὰρ καὶ σὰρξ καὶ ὀστοῦν ἐστι καὶ τῶν ἄλλων ἕκαστον, καὶ οὐ διὰ τὴν ὕλην, ἣν ἐκεῖνος λέγει πῦρ καὶ γῆν, καὶ ὕδωρ καὶ ἀέρα. ἀλλὰ καὶ ταῦτα ἄλλου μὲν λέγοντος συνέ- B φησεν ἂν ἐξ ἀνάγκης, σαφῶς δὲ οὐκ εἴρηκε. περὶ μὲν οὖν τῶν τοιούτων, δεδήλωται καὶ πρότερον. ὅσα δὲ περὶ τῶν αὐτῶν τούτων ἀπορήσειεν ἄν τις, ἐπανέλθωμεν πάλιν. τάχα γὰρ ἂν ἐξ αὐτῶν εὐπορήσαιμέν τι πρὸς τὰς ὕστερον ἀπορίας.

γρ. ψελλιζομένη. recto casu.

De partibus anim. l. 1. c. 1.

γρ. καὶ σαρκὸς, καὶ τ. ἀ. ἑκάστου εἶ.

Quodam modo enim omnes dictæ sunt priùs, quodam modo minimè. Balbutienti enim assimilata fuit prima philosophia de omnibus, tanquam in principiis noua existens. Nam & Empedocles, os ait esse ratione. Hoc autem est, quod quid erat esse, & rei substantia. At verò similiter necesse est etiam carnis cæterorumque singulorum esse rationem, aut nihil esse. Propter hoc enim & caro, & os, cæterorumque vnumquodque est: & non propter materiam, quam ille ignem, terram, aquam, & aërem ait. Sed hæc altero dicente, necessariò consensisse profectò, clarè tamen non dixit. De his igitur & antea manifestum est. Quodcumque autem de his quispiam dubitauerit, rursus repetamus. Fortassis etenim ex eis aliquid facultatis habebimus ad futuras dubitationes.

C

## ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΤΩΝ ΜΕΤΑ τὰ φυσικὰ ἄλφα τὸ ἔλαττον.

### ΚΕΦΑΛ. α΄.

Ὅτι ἡ περὶ τῆς ἀληθείας θεωρία, τῇ μὲν χαλεπή, τῇ δὲ ῥᾳδία.

Ἡ ΠΕΡΙ τῆς ἀληθείας θεωρία, τῇ μὲν χαλεπή, τῇ δὲ, ῥᾳδία. σημεῖον δὲ, D τὸ μήτε ἀξίως μηδένα δύνασθαι τυχεῖν αὐτῆς, μήτε πάντας ἀποτυγχάνειν, ἀλλ' ἕκαστον λέγειν τι περὶ τῆς φύσεως, καὶ καθ' ἕνα μὲν, μηδὲν ἢ μικρὸν ἐπιβάλλειν αὐτῇ· ἐκ πάντων δὲ συναθροιζομένων γίνεσθαί τι μέγεθος. ὥστ' εἴπερ ἔοικεν ἔχειν καθάπερ τυγχάνομεν παροιμιαζόμενοι, τίς ἂν θύρας ἁμάρτοι; ταύτῃ μὲν ἂν εἴη ῥᾳδία. τὸ δ' ὅλον τ' ἔχειν καὶ μέρος μὴ δύνασθαι, δηλοῖ τὸ χαλεπὸν αὐτῆς. ἴσως δὲ καὶ τῆς χαλεπότητος οὔσης E κατὰ δύο τρόπους, οὐκ ἐν τοῖς πράγμασιν, ἀλλ' ἐν ἡμῖν τὸ αἴτιον αὐτῆς. ὥσπερ γὰρ καὶ τὰ τῶν νυκτερίδων ὄμματα πρὸς τὸ φέγγος ἔχει τὸ μεθ' ἡμέραν, οὕτω καὶ τῆς ἡμετέρας ψυχῆς ὁ νοῦς πρὸς τὰ τῇ φύσει φανερώτατα πάντων. οὐ μόνον δὲ χάριν ἔχειν δίκαιον τούτοις, ὧν τις κοινωνήσαι ταῖς δόξαις, ἀλλὰ καὶ τοῖς ἔτι ἐπιπολαιότερον ἀποφηναμένοις. καὶ γὰρ οὗτοι συμβάλλονταί τι.

## ARISTOTELIS STAGIRITÆ METAPHYSICORVM

### Liber secundus, vel primus minor.

### CAPVT I.

*Veritatis contemplationem partim difficilem, partim facilem esse. Causam difficultatis non tam in rebus quàm in nobis esse.*

SPECVLATIO de veritate, partim difficilis, partim facilis est. Signum autem, quòd neque satis eam aliquis consequitur, neque aberrant omnes ab ea, sed quisque aliquid de Natura dicit, & singuli quidem nil, aut parum ei addunt, ex omnibus verò collectis aliqua magnitudo fit. Quare si ita se videtur habere, vt in prouerbio dicimus, Quis aberrabit à ianua? hoc modo profectò facilis esset. Totum autem, & partem habere non posse, hoc eius difficultatem ostendit. Cùm verò difficultas duobus sit modis, fortassis causa eius non rebus sed nobis ipsis inest. Quemadmodum enim vespertilionum oculi ad lumen diei se habent, ita & intellectus animæ nostræ ad ea quæ manifestissima omnium sunt. Verùm non solùm illis agendæ sunt gratiæ, quorum opinionibus quis acquiescet, sed illis qui superficie tenus dixerunt. Conferunt enim aliquid etiam isti: habitum namque nostrum exercuerunt.

Si enim Timotheus non fuisset, multũ melodiæ nequaquam habuissemus. Si tamen Phrynis non extitisset, ne Timotheus quidem. Simili modo & de illis est, qui de veritate asseruerunt. A quibusdam enim aliquas accepimus opiniones; quidam verò, vt hi fierent, causa fuerunt. Rectè autem se habet, philosophiam, scientiam veritatis appellare. Speculatiuæ enim finis, veritas: practicæ autem, opus. Etenim si quo modo se habent, considerant, non causam per se, sed ad aliquid, & eo in tempore practici speculantur. Nescimus autem verum absque causa: vnumquodque verò id ipsum maximè aliorum est, secundùm quod aliis vniuocatio inest: vtputa ignis calidissimum. Etenim cæteris hic est caliditatis causa. Quare verissimum etiam est id quod posterioribus vt vera sint, causa est. Propter quod principia semper existentium necesse est verissima esse. Nec enim aliquando vera, nec illis vt sint, aliquid aliud causa est, sed illa cæteris. Quare vt secundùm esse vnumquodque se habet, ita etiam secundùm veritatem.

A τὴν γὰρ ἕξιν προησκήσαμεν ἡμῶν. εἰ μὲν γὰρ Τιμόθεος μὴ ἐγένετο, πολλὴν ἂν μελοποιίαν οὐκ εἴχομεν· εἰ δὲ μὴ Φρῦνις, Τιμόθεος οὐκ ἂν ἐγένετο. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν περὶ τῆς ἀληθείας ἀποφηναμένων. παρὰ μὲν γὰρ ἐνίων παρειλήφαμέν τινας δόξας· οἱ δὲ τοῦ γενέσθαι τούτους αἴτιοι γεγόνασιν. ὀρθῶς δὲ ἔχει καὶ τὸ καλεῖσθαι τὴν φιλοσοφίαν ἐπιστήμην τῆς ἀληθείας ∴ θεωρητικὴν.] θεωρητικῆς μὲν γὰρ τέλος ἀλήθεια, πρακτικῆς δ' ἔργον, καὶ γὰρ ἐὰν τὸ πῶς ἔχει, σκοπῶσι, * οὐ τὸ αἴτιον καθ' αὑτὸ, ἀλλὰ πρός τι, καὶ νῦν θεωροῦσιν οἱ πρακτικοί. * οὐκ ἴσμεν δὲ τὸ ἀληθὲς ἄνευ τῆς αἰτίας. ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων, καθ' ὃ καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ συνώνυμον· οἷον τὸ πῦρ θερμότατον. καὶ γὰρ τοῖς ἄλλοις τὸ αἴτιον τοῦτο τῆς θερμότητος. ὥστε καὶ ἀληθέστατον τὸ τοῖς ὑστέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι. διὸ τὰς τῶν ἀεὶ ὄντων ἀρχὰς, ἀναγκαῖον ἀεὶ εἶναι ἀληθεστάτας. οὐ γάρ ποτε ἀληθεῖς, οὐδ' C ἐκείναις αἴτιόν τί ἐστι τοῦ εἶναι, ἀλλ' ἐκεῖναι τοῖς ἄλλοις. ὥσθ' ἕκαστον ὡς ἔχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας.

κ. ὁ. γὰρ αἴτ. malè quidam, οὐ μὴ πάσ.

Cap 2. lib. 1. Poster. Analyt.

## CAPVT II.

*Non dari progressum infinitum in causis, neque in eodem genere neque in diuersis.*

AT verò quòd est principium aliquod, neque sunt infinitæ entium causæ, neque in rectum, neque secundùm speciem, patet. Nec enim vt ex materia, hoc ex hoc potest esse infinitum, vt carnem ex terra, terram ex aëre, aërem ex igne, & hoc non stare. Nec vnde principium motus: veluti hominem quidem ab aëre moueri, hunc verò à Sole, Solem autem à contentione, & huius nullum esse finem. Similiter nec eius causa, in infinitum progredi potest: vt deambulationem quidem sanitatis causa, illam verò felicitatis, felicitatem verò alterius: & ita semper aliud alterius gratia esse. Similiter autem & de eo quod quid erat esse. Mediorum sanè, quorum extra aliquid vltimum & primum est, necesse est, quod prius est, causam esse eorum quæ post illud sunt. Si enim dicere nos oporteurit, quid trium causa est, primum dicemus. Non enim vltimum, (nullius enim, quod vltimum est,) neque medium: vnius enim: (Nil enim differt vnum, an plura sint, nec infinita. Infinitorum quidem hoc modo & simpliciter infiniti omnes partes mediæ sunt similiter huc vsque.

## ΚΕΦΑΛ. β'.

Ὅτι ἐστὶν ἀρχή τις.

ΑΛΛΑ μὴν ὅτι γ' ἐστὶν ἀρχή τις, καὶ οὐκ ἄπειρα τὰ αἴτια τῶν ὄντων, οὔτ' D εἰς εὐθυωρίαν, οὔτε κατ' εἶδος, δῆλον. οὔτε γὰρ ὡς ἐξ ὕλης, τόδ' ἐκ τοῦδε δυνατὸν ἰέναι εἰς ἄπειρον· οἷον σάρκα μὲν ἐκ γῆς, γῆν δ' ἐξ ἀέρος, ἀέρα δ' ἐκ πυρὸς, καὶ τοῦτο μὴ ἵστασθαι. οὔτε ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· οἷον τὸν μὲν ἄνθρωπον ὑπὸ τοῦ ἀέρος κινηθῆναι, τοῦτον δ' ὑπὸ τοῦ ἡλίου, τὸν δὲ ἥλιον ὑπὸ τοῦ νείκους, καὶ τούτου μηδὲν εἶναι πέρας. ὁμοίως δὲ οὐδὲ τὸ οὗ ἕνεκα, εἰς ἄπειρον οἷόν τε ἰέναι· βάδισιν μὲν E ὑγιείας ἕνεκα, ταύτην δ' εὐδαιμονίας, τὴν δ' εὐδαιμονίαν ἄλλου· καὶ οὕτως ἀεὶ ἄλλο ἄλλου ἕνεκεν εἶναι. καὶ ἐπὶ τοῦ τί ἦν εἶναι ὡσαύτως. τῶν γὰρ μέσων ὧν ἐστὶν ἔξω τι ἔσχατον καὶ πρότερον, ἀναγκαῖον εἶναι τὸ πρότερον αἴτιον τῶν μετ' αὐτό. εἰ γὰρ εἰπεῖν ἡμᾶς δέοι* τί τῶν τριῶν αἴτιον, τὸ πρῶτον ἐροῦμεν. οὐ γὰρ δὴ τό γε ἔσχατον· οὐδενὸς γὰρ τὸ τελευταῖον. ἀλλὰ μὴν οὐδὲ τὸ μέσον· ἑνὸς γάρ. οὐδὲν γὰρ διαφέρει ἓν ἢ πλείω εἶναι, οὐδ' ἄπειρα ἢ πεπερασμένα. τῶν δ' ἀπείρων τοῦτον τὸν τρόπον καὶ ὅλως τοῦ ἀπείρου πάντα τὰ μόρια μέσα ὁμοίως μέχρι τοῦ

ὁμοίως μέχρι τοῦ νῦν. ὥστ' εἴπερ μηδέν ἐστι τὸ πρῶτον, ὅλως αἴτιον οὐδέν ἐστιν. ἀλλὰ μὴν οὐδ' ἐπὶ τὸ κάτω οἷόν τ' ἐπὶ εἰς ἄπειρον ἰέναι, τοῦ ἄνω ἔχοντος ἀρχήν· ὥστ' ἐκ πυρὸς μὲν ὕδωρ, ἐκ δὲ τούτου γῆν, καὶ οὕτως ἀεὶ ἄλλο τι γίγνεσθαι γένος. διχῶς γὰρ γίγνεται τόδε ἐκ τοῦδε, (μὴ ὡς τόδε λέγεται μετὰ τόδε, οἷον ἐξ Ἰσθμίων Ὀλύμπια,) * ἢ ἐκ παιδὸς ἀνὴρ μεταβάλλοντος, ἢ ἐξ ὕδατος ἀήρ. ὡς μὲν οὖν ἐκ παιδὸς ἄνδρα γίγνεσθαί φαμεν, ὡς ἐκ τοῦ γιγνομένου τὸ γεγονός, ἢ ἐκ τοῦ ἐπιτελουμένου τὸ τετελεσμένον· ἀεὶ γάρ ἐστι μεταξύ τι, ὥσπερ τοῦ εἶναι καὶ μὴ εἶναι γένεσις· οὕτω καὶ τὸ γιγνόμενον τοῦ ὄντος καὶ μὴ ὄντος. ἔστι δ' ὁ μανθάνων γιγνόμενος ἐπιστήμων. καὶ τοῦτ' ἔστιν ὃ λέγεται, ὅτι γίγνεται ἐκ μανθάνοντος ἐπιστήμων· τὸ δ', ὡς ἐξ ἀέρος ὕδωρ, φθειρομένου θατέρου. διὸ ἐκεῖνα μὲν οὐκ ἀνακάμπτει πρὸς ἄλληλα, οὐδὲ γίγνεται ἐξ ἀνδρὸς παῖς. οὐ γὰρ γίγνεται ἐκ τῆς γενέσεως τὸ γιγνόμενον, ἀλλ' ἔστι μετὰ τὴν γένεσιν. οὕτω γὰρ ἡ ἡμέρα ἐκ τοῦ πρωΐ, ὅτι μετὰ τοῦτο. διὸ οὐδὲ τὸ πρωῒ ἐξ ἡμέρας. θάτερα δὲ ἀνακάμπτει. ἀμφοτέρως δὲ ἀδύνατον εἰς ἄπειρον ἰέναι. τῶν μὲν γὰρ ὄντων μεταξύ, ἀνάγκη τέλος εἶναι· τὰ δὲ εἰς ἄλληλα ἀνακάμπτει. ἡ γὰρ θατέρου φθορά, θατέρου ἐστὶ γένεσις. ἅμα δὲ καὶ ἀδύνατον τὸ πρῶτον ἀΐδιον ὂν, φθαρῆναι. ἐπεὶ γὰρ οὐκ ἄπειρος ἡ γένεσις ἐπὶ τὸ ἄνω, ἀνάγκη ἐξ οὗ φθαρέντος πρώτου τι ἐγένετο, μὴ ἀΐδιον εἶναι. τοῦτο δὲ ἀδύνατον. ἔτι δὲ τὸ οὗ ἕνεκα, τέλος. τοιοῦτον δὲ ὃ μὴ ἄλλου ἕνεκα, ἀλλὰ τἆλλα ἐκείνου. ὥστ' εἰ μὲν ἔσται τοιοῦτον τὸ ἔσχατον, οὐκ ἔσται ἄπειρον. εἰ δὲ μηδὲν τοιοῦτον, οὐκ ἔσται τὸ οὗ ἕνεκα. ἀλλ' οἱ τὸ ἄπειρον ποιοῦντες, λανθάνουσιν ἐξαιροῦντες τὴν τοῦ ἀγαθοῦ φύσιν· καίτοι * οὐθεὶς ἂν ἐγχειρήσειεν οὐθὲν πράττειν, μὴ μέλλων ἐπὶ πέρας ἥξειν. οὐδ' ἂν εἴη νοῦς ἐν τοῖς τοιούτοις. ἕνεκα γάρ τινος ἀεὶ πράττει ὅ γε νοῦν ἔχων. τοῦτο γάρ ἐστι πέρας· τὸ γὰρ τέλος, πέρας ἐστίν. ἀλλὰ μὴν οὐδὲ τὸ τί ἦν εἶναι ἐνδέχεται ἀνάγεσθαι εἰς ἄλλον ὁρισμὸν πλεονάζοντα τῷ λόγῳ. ἀεί τε γάρ ἐστιν ὁ ἔμπροσθεν μᾶλλον, ὁ δ' ὕστερος οὐκ ἔστιν. οὗ δὲ τὸ πρῶτον μὴ ἔστιν, οὐδὲ τὸ ἐχόμενον. ἔτι τὸ ἐπίστασθαι ἀναιροῦσιν οἱ οὕτω λέγοντες· οὐ γὰρ οἷόν τε εἰδέναι, πρὶν εἰς τὰ ἄτομα ἐλθεῖν. καὶ τὸ γιγνώσκειν οὐκ ἔστι. τὰ γὰρ οὕτως ἄπειρα, πῶς ἐνδέχεται νοεῖν; οὐ γὰρ ὅμοιον ἐπὶ τῆς γραμμῆς, ἣ κατὰ τὰς διαιρέσεις μὲν οὐχ ἵσταται, νοῆσαι δ' οὐκ ἔστι μὴ στήσαντα. διόπερ οὐκ ἀριθμήσει τὰς τομὰς ὁ τὴν ἄπειρον διεξιών

γρ. ἀλλ' ὡς ἐκ.

Cap. 2. l. 1. Ethic. Nicom.

Quare si primum nihil est, omnino nulla causa est. Et neque deorsum possibile est in infinitum descendere, cùm id quòd sursum versus principium habet: vt ex igne quidem aquam, ex hac verò terram, & ita semper aliud quoddam genus fieri. Dupliciter enim hoc ex hoc fit, non vt post hoc dicitur: vt ex Isthmiis ludis, Olympiaci: sed vt aut ex puero mutato vir, aut vt ex aqua aër. Verumenimvero vt ex puero quidem virum fieri dicimus, tanquam ex eo quod fiebat, id quod factum est, aut quod perfectum est, ex eo quod perficiebatur: semper etenim est aliquid medium, vt inter esse, & non esse, generatio: ita quod fit, inter existens, & non existens. Qui autem discit, fit sciens. Et hoc est quod dicitur, quòd fit ex discente sciens, vt autem tanquam ex aëre aqua, corrupto altero. Quare illa quidem non reflectuntur mutuò, nec fit puer ex viro. Non enim fit ex generatione quod fit, sed post generationem est. Sic enim dies ex diluculo, quoniam post hoc est: quare nec diluculum ex die: cætera verò reflectuntur. Vtroque tamen modo impossibile est in infinitum progredi. Illorum enim cùm media sint, necesse est finem esse. Hæc autem inuicem reflectuntur. Alterius enim corruptio, alterius generatio est. Simul autem impossibile est primùm corrumpi, cùm sempiternum sit. Cùm enim generatio non sit infinitum sursum versus, necesse est non esse sempiternum illud quo primo corrupto quicquam factum est. Item ipsum, cuius causa finis. Tale autem est, quod non est alterius gratia, sed eius causa cætera. Quare si tale erit vltimum, non erit infinitum. Quòd si nihil tale, non erit ipsum, cuius causa. Sed qui faciunt infinitum, latet eos quòd boni naturam auferunt. At nullus inciperet agere quicquam, si non esset peruenturus ad finem, nec esset intellectus in huiuscemodi. Alicuius enim causa agit, quicumque intellectum habet. Hoc namque terminus est: finis verò ipse terminus. At verò nec quod quid erat esse reduci ad aliam definitionem ratione abundantem contingit. Semper etenim prior, magis est, posterior verò, non est. Cuius autem primum non est, non quod sequitur, est. Item, ipsum scire perimunt, qui ita dicunt. Non enim possibile est scire antè, quàm ad indiuidua deueniatur, & ipsum cognoscere non est. Quæ enim ità infinita sunt, quomodo intelligere contingit? nec enim simile de linea est, quæ secundùm diuisiones quidem non stat. Intelligere verò non potest, nisi sistat. Quare non numerabit diuisiones, qui infinitam pertransit,

A Sed etiam materiam necesse est in eo quod mouetur, intelligere. At nulli est esse infinito: quòd si non, non infinitum est infinito esse. Quòd etiam si species causarum infinitæ multitudine essent, nec hoc modo esset ipsum cognoscere. Tunc enim scire putamus, cùm causas cognoscimus. Infinitum verò secundùm additionem non est in tempore finito pertransire.

ἀλλὰ καὶ τὴν ὕλην ἐν κινουμένῳ νοεῖν ἀνάγκη· καὶ ἀπείρῳ, οὐδὲν ἐστὶν εἶναι· εἰ δὲ μή, οὐκ ἄπειρόν γ' ἐστὶν, τὸ ἀπείρῳ εἶναι. ἀλλὰ μὴν καὶ εἰ ἄπειρά γ' ἦσαν πλήθει τὰ εἴδη τῶν αἰτίων, οὐκ ἂν ἦν οὐδ' οὕτω τὸ γινώσκειν. τότε γὰρ εἰδέναι οἰόμεθα, ὅταν τὰ αἴτια γνωρίσωμεν. τὸ δ' ἄπειρον κατὰ τὴν πρόσθεσιν, οὐκ ἔστιν ἐν πεπερασμένῳ διεξελθεῖν.

B

## CAPVT III.

*Quinam sit tenendus modus in inuestigatione veritatis.*

AVscultationes autem secundùm consuetudines accidunt. Quemadmodum enim consueuimus, ita iudicamus dici debere, & quæ præter hæc, non apparent similia, sed quia non consueuimus, ignotiora, & magis peregrina: consuetum etenim notius est. C Quantam verò vim consuetudo habeat, leges declarant, in quibus fabulosa ac puerilia plus possunt propter consuetudinem, quàm si cognosceremus ea. Aliqui igitur, nisi mathematicè loquentem non admittunt: quidam verò non nisi exemplis vtentem: quidam autem dignum ducunt, vt testis producatur aliquis poëta. Et quidam certa omnia volunt. Quosdam verò tædet certitudinis, aut propterea, quòd non possunt sequi, aut propter curiositatem. Habet enim certitudo tale aliquid: quare vt in contractibus, ita & in orationibus illiberale esse quibusdam apparet. D Quapropter oportet institutum esse, quomodo singula admittenda sunt: quoniam absurdum est simul scientiam & modum scientiæ quærere. Neutrum autem facile accipere est. Certitudinem verò mathematicam non oportet in cunctis quærere, sed in iis quæ non habent materiam. Quare non est naturalis modus. Tota enim natura fortè habet materiam. Quamobrem considerandum est primùm, quidnam Natura sit. Sic E enim & de quo naturalis scientia est, manifestum erit, & vtrùm vnius scientiæ, an plurium est, causas & principia speculari.

## ΚΕΦΑΛ. γ'.

Τίς ἄριστος τῆς διδασκαλίας τρόπος.

ΑΙ δ' ἀκροάσεις κατὰ τὰ ἔθη συμβαίνουσιν. ὡς γὰρ εἰώθαμεν, οὕτως ἀξιοῦμεν λέγεσθαι· καὶ τὰ παρὰ ταῦτα οὐχ ὅμοια φαίνεται, ἀλλὰ διὰ τὴν ἀσυνήθειαν, ἀγνωστότερα καὶ ξενικώτερα. τὸ γὰρ σύνηθες γνωριμώτερον. ἡλίκην δὲ ἰσχὺν ἔχει τὸ σύνηθες, οἱ νόμοι δηλοῦσιν, ἐν οἷς τὰ μυθώδη καὶ παιδαριώδη μεῖζον ἰσχύει τοῦ γινώσκειν περὶ αὐτῶν διὰ τὸ ἔθος. οἱ μὲν οὖν ἐὰν μὴ μαθηματικῶς λέγῃ τις, οὐκ ἀποδέχονται τῶν λεγόντων. οἱ δ', ἂν μὴ παραδειγματικῶς· οἱ δὲ μάρτυρα ἀξιοῦσιν ἐπάγεσθαι ποιητήν. καὶ οἱ μὲν πάντα ἀκριβῶς, τοὺς δὲ λυπεῖ τὸ ἀκριβές, ἢ διὰ τὸ μὴ δύνασθαι συνείρειν, ἢ διὰ τὴν μικρολογίαν. ἔχει γάρ τι τὸ ἀκριβὲς τοιοῦτον. ὥστε καθάπερ ἐπὶ τῶν συμβολαίων, καὶ ἐπὶ τῶν λόγων, ἀνελεύθερον εἶναί τισι δοκεῖ. διὸ δεῖ πεπαιδεῦσθαι πῶς ἕκαστα ἀποδεκτέον· ὡς ἄτοπον ἅμα ζητεῖν ἐπιστήμην, καὶ τρόπον ἐπιστήμης. ἔστι δ' οὐδέτερον ῥᾴδιον λαβεῖν. τὴν δ' ἀκριβολογίαν τὴν μαθηματικὴν οὐκ ἐν ἅπασιν ἀπαιτητέον, ἀλλ' ἐν τοῖς μὴ ἔχουσιν ὕλην. διόπερ οὐ φυσικὸς ὁ τρόπος. ἅπασα γὰρ ἴσως ἡ φύσις ἔχει ὕλην. διὸ σκεπτέον πρῶτον τί ἐστιν ἡ φύσις· οὕτω γὰρ καὶ περὶ τίνος ἡ φυσική, δῆλον ἔσται, καὶ εἰ μιᾶς ἐπιστήμης ἢ πλειόνων τὰ αἴτια καὶ τὰς ἀρχὰς θεωρῆσαί ἐστιν.

A

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΤΩΝ ΜΕΤΑ τὰ φυσικὰ, τὸ γ'.

## ΚΕΦΑΛ. α'.

Ἀπορίας χρῆσις, καὶ περὶ ὧν ἀπορῆσαι δεῖ πρῶτον.

ΑΝΑΓΚΗ πρὸς τὴν B
ἐπιζητουμένην ἐπιστήμην
ἐπελθεῖν ἡμᾶς πρῶτον,
περὶ ὧν ἀπορῆσαι δεῖ
πρῶτον. ταῦτα δ' ἐστὶν
ὅσα περὶ αὐτῶν ἄλλως ὑπειλήφασί τινες,
κἂν εἴ τι χωρὶς τούτων τυγχάνοι πρό-
τερον παρεωραμένον. ἔστι δὲ τοῖς εὐπορῆσαι βου-
λομένοις προὔργου τὸ διαπορῆσαι καλῶς.
ἡ γὰρ ὕστερον εὐπορία λύσις τῶν πρότερον C
ἀπορουμένων ἐστί. λύειν δ' οὐκ ἔστιν ἀγνοοῦν-
τας τὸν δεσμόν· ἀλλ' ἡ τῆς διανοίας ἀπορία
δηλοῖ τοῦτο περὶ τοῦ πράγματος. ᾗ γὰρ ἀπο-
ρεῖ, ταύτῃ παραπλήσιον πέπονθε τοῖς δεδε-
μένοις. ἀδύνατον γὰρ ἀμφοτέρως προελ-
θεῖν εἰς τὸ ἔμπροσθεν. διὸ δεῖ τὰς δυσχερείας
τεθεωρηκέναι πάσας πρότερον, τούτων τε χά-
ριν καὶ διὰ τὸ τοὺς ζητοῦντας ἄνευ τοῦ διαπο-
ρῆσαι πρῶτον ὁμοίους εἶναι τοῖς ποῖ δεῖ βαδίζειν
ἀγνοοῦσι· καὶ πρὸς τούτοις, οὐδ' εἴ ποτε τὸ ζη- D
τούμενον εὕρηκεν ἢ μὴ, γινώσκειν. τὸ γὰρ τέλος
τούτῳ μὲν οὐ δῆλον, τῷ δὲ καλῶς προηπορηκότι
δῆλον. ἔτι δὲ βέλτιον ἀνάγκη ἔχειν πρὸς τὸ κρῖ-
ναι, * τὸν ὥσπερ ἀντιδίκων καὶ τῶν ἀμφισβητούν-
των λόγων ἀκηκοότα πάντων. ἔστι δ' ἀπορία,
πρώτη μὲν περὶ ὧν ἐν τοῖς πεφροιμιασμένοις
διηπορήσαμεν, πότερον μιᾶς ἢ πολλῶν ἐστιν
ἐπιστημῶν θεωρῆσαι τὰς αἰτίας, καὶ πότερον τὰς
τῆς οὐσίας ἀρχὰς τὰς πρώτας ἐστὶ τῆς ἐπιστήμης
ἰδεῖν μόνον, ἢ καὶ περὶ τῶν ἀρχῶν ἐξ ὧν δεικνύουσιν E
ἅπαντες· οἷον πότερον ἐνδέχεται ταὐτὸ καὶ ἓν ἅμα
φάναι καὶ ἀποφάναι, ἢ οὔ, καὶ περὶ τῶν ἄλλων τῶν τοιού-
των. εἴτ' ἔστι περὶ τὴν οὐσίαν, πότερον μία περὶ
πάσας, ἢ πλείονές εἰσι. κἂν εἰ πλείονες, πότε-
ρον ἅπασαι συγγενεῖς, ἢ τὰς μὲν σοφίας, τὰς δὲ
ἄλλο τι λεκτέον αὐτῶν. καὶ τοῦτο δ' αὐτὸ τῶν ἀναγ-
καίων ἐστὶ ζητῆσαι, πότερον τὰς αἰσθητὰς οὐσίας
εἶναι μόνον φατέον, ἢ καὶ παρὰ ταύτας ἄλλας·
καὶ πότερον μοναχῶς, ἢ πλείονα γένη τῶν οὐσιῶν·

De cœlo l. 1. c 10. Inf. c. 2.

# ARISTOTELIS STAGIRITÆ METAPHYSICORVM

## LIBER III.

## CAPVT I.

*Docet, ad veritatem inueniendam, à dubitationibus eſſe ordiendum: deinde dubitationes ipſas proponit.*

AD illam, quæ quæritur, ſcientiam neceſſe eſt in primis nos percurrere de quibus primò dubitandum eſt. Hæc autem ſunt, & quæcumque de eis aliter quidam exiſtimarunt, & ſi quid vltra hæc prætermiſſum ſit. Eſt autem operæpretium aliquid facultatis habere volentibus, bene dubitare. Nam poſterior facultas, ſolutio eorum eſt quæ antè dubitata fuerunt. Soluere autem non eſt, cùm nodus ignoretur: ſed intellectus hæſitatio, manifeſtum hoc de re facit. Quatenus enim dubitat, eatenus ſimile quiddam ligatis patitur: vtroque namque modo impoſſibile eſt ad vlteriora procedere. Quare omnes primò difficultates ſpeculari par eſt, & horum gratia, & propterea quod illi, qui quærunt, niſi primò dubitent, ſimiles illis ſunt, qui quonam ire oporteat, ignorant: & ad hæc neque vtrùm inuenerint quod quæritur, an non, cognoſcere poſſunt. Finis etenim his quidem non eſt manifeſtus: illi autem, qui antea dubitauerit, pateſcit. Item, meliùs ſe habere neceſſe eſt illum ad iudicandum, qui tanquam aduerſarios, omnes vtrinque rationes oppoſitas audiat. Eſt autem prima dubitatio de iis quæ in procemio quoque dubitauimus, vtrùm vnius aut multarum ſcientiarum ſit cauſas ſpeculari. Et vtrùm prima ſubſtantiæ principia, ſolùm huius ſit ſcientiæ conſiderare, an etiam de principiis, ex quibus omnes demonſtrant: vt puta, vtrùm contingit vnum & idem ſimul affirmare, & negare, an non, & de cæteris huiuſmodi. Quòd ſi circa ſubſtantiam eſt, vtrùm vna an plures circa omnes ſint: & ſi plures, vtrùm omnes inter ſe affines, an aliquas earum ſapientias, nonnullas aliquid aliud appellandum ſit. Et hoc etiam ipſum neceſſarium eſt, vt quæratur, vtrùm ſenſibiles ſubſtantias eſſe dumtaxat dicendum ſit, an præter has etiam alias. Et vtrùm vnum an plura ſubſtantiarum genera ſint,